


Digitized by Google



Digitized by Google



Digitized by Google







Digitized by Google

Digitized by Google

PHILOSTRATI EPISTOLAE.

Digitized by Google

Digitized by Google

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

PHILOSTRATI EPISTOLAE

QUAS AD CODICES

RECENSVIT

ET NOTIS OLEARII SVISQVE

INSTRVXIT

JO. FR. BOISSONADE.

PARISIIS ET LIPSIAE,
APVD BROCKHAVS ET AVENARIVS.

MDCCCXLII.

Digitized by Google

LVDOVICO DE SINNER

INGENII EXCVLTISSIMI VIRO

QVI ADOLESCENTES NAVITER INSTITVENDO ET ERVDIENDO DILIGENTER PLVRIMOSQVE OPTIMORVM AVCTORVM LIBROS ACCVRATE EDENDO ET DOCTE ILLVSTRANDO STVDIA LITERARVM ANTIQVARVM IN VNIVERSITATE NOSTRA INSIGNITER ALVIT AC PROMOVIT

CONCESSVM NVPER CIVITATIS IVS FRANCOGALLICAE GRATVLATVR AC SIMVL NOVVM LIBELLVM DICAT

EDITOR IPSI DEDITISSIMVS.

Digitized by Google



PRAEFATIO OLEARII.

Epistolae Philostrati agmen claudunt collectionis operum Philostrateorum,... de quibus uti non multa adeo, ita nonnulla tamen monenda veniunt, quae scire interesse putent sua, antequam ad ipsas legendas Epistolas hasce accesserint, lectorum diligentiores.

Hoc itaque ante omnia monendum, aliquanto auctiorem nos hic Epistolarum Philostrati collectionem exhibere, quam vel in volumine Epistolarum variarum ab Aldo Manutio A. 1499 in .4. edita fuit (nam operum reliquorum Philostrateorum collectioni, quae postea An. 1501 et 1503 prodiit, Epistolas Aldus non adjecit), vel in collectione veterum Epistolarum, cui Cujacii nomen praefixum est *), vel in editione Morelliana operum Philostrateorum. In eis enim LXIII numerabantur Philostrati Epistolae; nos LXXIV exhibemus, ut adeo undecim Epistolis auctior hucusque recensitis haec nostra editio

*) Praefixum quidem, sed errore manifesto, de quo plurimi monuerunt, et ipse jam ad Theophylacti Simocattae Epistolas p. XXXIII.

in lucem procedat. Earum octo, illas quae LXIII inter et LXXII a nobis collocatae fuerunt, Io. Meursius jam vulgaverat, una cum dissertatione de Philostratis, quae anno 1616 ex officina Elzeviriana prodiit [1]). In ea praeterea collectione Epistolas quasdam antea mutilas ille exhibuerat, quarum ex codicibus, quibus usus fuerat, implere lacunas, ipsi fuerat datum. Sunt illae Epistolae XXV, XXVI, XXIX et XLIV, quas ex Meursiana editione heic quoque supplevimus, suffragantibus codicibus Vaticanis, quorum indicium ad ipsa illa loca a nobis factum fuit. Ex iisdem vero Vaticanis codicibus habemus Epistolas LXXII, LXXIII et LXXIV, nisi tamen postrema sit Epistolae fragmentum potius quam epistola. Confido autem hac ratione resarcitum iri damnum, quod in collectione harum Epistolarum Iodoci Kimedoncii auctiore, quam in manibus suis fuisse testatur Gothofredus Iungermannus in epistola MS. ad Eliam Putschium apud Clariss. Fabricium Bibl. Gr. lib. II, c. 10, p. 421 [t. 5, p. 551 H.], respublica litteraria admisit. Vix enim alias ab iis quas a Meursio postea editas habuimus Epistolas fuisse puto, quibus Kimedoncianus codex se commendavit [2]). Plures autem forte quam nos addi-

1) Repetita fuit editio Meursiana in Lamiana Meursii editione t. 7.

2) Ipsa Jungermanni verba legesis in praefatione Olearii ad Vitam Apollonii p. IX. Kimedoncii notas possidet vir eruditiss. Kayserus, a quo integram Philostrateorum operum editionem exspectamus: vide ejus not. ad Philostratum De gymn p. 86.

disset, qui minus attento oculo in evolvendis Romanis codicibus versatus esset. Habentur enim in eis nonnullae, quae fragmenta sunt tantum Epistolarum integrarum in nostra collectione extantium, quae, si fugitivo oculo inspiciantur, ineditae videri queant; qualis est quam exhibet Cod. Vatic. LXXXVII, p. 523, quae in cod. CXXVII et CXL eadem facie comparet, incipitque verbis δοκεῖ καὶ μέμψεως ἄξιον, desinit vero in istis οὔτε αὐλὸς ἡδὺ ἄκουσμα οὕτως ὡς τὰ σὰ ῥήματα, quam fragmentum esse Epistolae LXIIX nostrae editionis est manifestum. Similiter quae in iisdem codicibus habetur Epistola, cujus initium ἦν ἄρα πάθος ἐρωτικὸν, finis νύκτωρ δὲ ὄναρ γίνεται, ipsissima est Epistola editionis nostrae LII, initio manca. Praeterea quae cod. Vatic. CX, p. 126, exhibentur inter Philostrati Epistolas, non epistolam mihi sapere videntur, sed laciniam philosophicae διαλέξεως, nescio unde depromtae atque alieno loco insertae. Mihi conjectura animo sedet esse has ex quadam Philostrati διαλέξει decerptas reliquias; ita sophistae mihi videntur olere in exornando philosophico argumento industriam. Meminit vero διαλέξεων suarum ipse Philostratus Vitae Apollonii lib. VI, cap. 35, et Suidas. Nisi forte cui longus discursus in epistolicum acumen desiturus tandem videatur in fine, quo mutila haecce epistola exhibeatur. Sed integro ea de re cuivis relicto judicio, ipsum fragmentum illud, qualecunque sit, hoc saltem loco nihil vetat exhibere:

Οἱ*) τὸν νόμον τῇ φύσει ἀνθομοιοῦντες ἀν-

*) In codice Parisino 1696 hoc fragmentum collocatum

τικεῖσθαι μὲν ταῦτά φασιν[1]) ἀλλήλοις, καθάπερ τὸ λευκὸν τῷ μέλανι καὶ τὸ μανὸν τῷ πυκνῷ καὶ τὸ μελιχρὸν τῷ πικρῷ καὶ τὸ ψυχρὸν τῷ θάλποντι· εἶναι δὲ φύσεως μὲν ἔργα, ζῶα καὶ ἄστρα καὶ ποταμοὺς καὶ ἴδας[2]) καὶ πεδία καὶ ἰσθμοὺς καὶ πορθμοὺς, καὶ καθάπαξ τὸ ὑπὲρ τέχνην· νόμου δὲ ἔργα, τείχη καὶ νεώσοικοι καὶ ναῦς καὶ ἄσπις καὶ λήϊα, καὶ πᾶν τὸ ὑπὸ χεῖρα· καὶ τὰ μὲν τῆς φύσεως ἄφθαρτα εἶναι τὸν ἀεὶ χρόνον, τήν τε θάλατταν μένειν ὁπόση ἐγένετο καὶ τὴν γῆν ὁπόση ὡρίσθη, καὶ τὸν αἰθέρα ὡς ἔφυ, ἄστρα τε καὶ ὥρας ὡς ἐκείνων κύκλος· καὶ τὸ ἐπὶ ζῶα δὲ, αὐτῆς ἧκον[3]), φθείρεσθαι μὲν αὐτὰ τὰ τικτόμενα, τὸ δὲ ἀεὶ τίκτον παρέχειν τῇ φύσει τὸν τοῦ ἀκηράτου λόγον· τὰ δὲ τοῦ νόμου φθαρτά τε εἶναι καὶ

reperi post Philostrati epistolas, et titulo carens. Videtur etiam Kaysero Praef. V. S. p. 22, fragmentum esse τῶν Διαλέξεων.

1) Cod. Par. ταῦτα φασίν.

2) Olearius vertit ἴδας „sylvas", probante Jacobsio ad Imagg. p. 379; improbante Tupio Emend. t. 4, p. 64, qui de montibus intelligit, et ita editores doctiss. Thesauri Stephaniani Didot. Quae significatio est probabilior. Tupius usus est Hesychii verbis: ἴδας· εἶδος, καὶ πάντα τὰ ὑψηλά. Corrupta quum videantur, sic emendat: εἴδας, εἴδες· καὶ πάντα τὰ ὑψ. Displicent confusae significationes verbi ac nominis. Conjeci legendum, Ἴδα, κατ' εἶδος, καὶ π. τὰ ὑψ., notante lexicographo posse capi nomen Ἴδα speciatim et generatim.

3) Olear. αὐτῆς εἶναι. Cod. Paris. αὐτῆς ἧκον, quod recepi; i. e. „quod ad eam pertinet."

ἁλωτά· τείχη τε γὰρ καὶ ἱερὰ τὰ μὲν ἁλίσκεσθαι, τὰ δὲ φθείρεσθαι σὺν χρόνῳ, οἰκίαν δὲ τὴν[1]) εὖ κατεσκευασμένην δῆλον εἶναι ὅτι οὐκ ἀεὶ ἑστήξει[2]), καὶ τὸ ναυπηγηθὲν οὐκ εἶναι βέβαιον, ὅτι[3]) μηδ' ἡ θάλασσα βεβαία ἀνθρώποις· τεκτονικήν τε καὶ χαλκευτικὴν πᾶσαν φθαρτὰ ἐργάζεσθαι τῷ νόμῳ· καὶ τὸν μὲν νόμον οὐκ ἂν δημιουργῆσαι ζῶον ἔμψυχον οὐδὲν, οὐδ' ἄστρον, οὐδ' αἰθέρα, οὐδ' ἄλλο τι τῶν ὧδε θεσπεσίων καὶ μεγάλων, τὴν φύσιν δὲ ὁμοιοῦσθαι πολλαχοῦ τοῖς τοῦ νόμου εἴδεσι· χωρία τε γὰρ ὀχυροῦν τείχεσιν ἀσφαλεστέροις τῶν ποιηθέντων, ἄντρα τε κισσηρεφῆ κατανοιγνύναι ἡδίω οἴκων, καί που καὶ ἄγαλμα διδόναι πέτρᾳ συμφυὲς Σατυρικόν τι ἢ Πανὶ[4]) ὅμοιον, ὄρη τε

1) E codice accessit τήν. Reddatur in transcursu is articulus Luciano Amor. 2: ἐγὼ γοῦν ἅπασαν αὐτῶν κενὴν ἀπολελεῖφθαι φαρέτραν νομίζω. Codex 2556: αὐτ. ἅπ. κ. ἀπ. τὴν φ...

2) Olearius edidit, δ. εἶναι καὶ εἰ ἑστίξει. Sic cod. 1696 sine copula. Recepi conjecturam Olearii.

3) Pro ὅτι forsan ὅτε. Quae vocabula permutantur. Libanius t. 4, p. 403, 9: τοὺς δ' ὅτε δύναιτο εὖ ποιεῖν. Malit Reiskius ὅ,τι. Reiskio favet codex 3017, in quo ὅτι. Libanius iterum Epist. 370: ἡμεῖς ἑσπέρας προσιούσης, ὅτι δὴ βαδίζειν εἰώθειμεν παρὰ σέ. Legam cum codice 3035, ὅτε δὴ β. εἰώθαμεν... Nilus Epist. 255: γεγράφηκάς μοι λέγων ὅτε ἤθελον μαθεῖν τί ὠφελεῖ ἡ ἀγρυπνία τὸν ἄνθρωπον. Scribendum ὅτι. Utitur oratione directa post ὅτι, quod obvium. Poterit etiam nitidius distingui: ...λέγων ὅτι Ἤθελον... Sic Nilus Epist. 73: λέγεις ὅτι ἤθελόν ποτε μηδένα ἄνθρωπον φοβηθῆναι.

4) Pro vulgato πάνυ recipiendam lectionem codicis Pari-

καὶ σκοπιὰς ὁμοιοῦν ζώοις, οἷον τῆς αὐτῆς[1]) ὁ ἐν Λήμνῳ δράκων καὶ ὁ ἐν Κρήτῃ λέων[2]) καὶ ἡ βούκρανος ἡ πρὸς Χίῳ, ἀγαλματοποιούσης τε κατὰ τὸν νόμον, καὶ τὰς νεφέλας εἰς εἴδη ζώων ἀγούσης· βλέψαντι γοῦν εἰς αὐτὰς λύκοις τε ὁμοιοῦνται καὶ παρδάλεσι καὶ κενταύροις καὶ ἅρμασι[3])· καὶ οὐδὲ ὁ κύκλος τῆς σελήνης ἄσημος, ἀλλὰ κἀκείνῳ τι ἐντετύπωται πρόσωπον, οἷον γραφῆς ἀῤῥήτου. Ἐμοὶ δὲ νόμος καὶ φύσις οὐ μόνον οὐκ ἐναντίω φαίνεσθον, ἀλλὰ καὶ ξυγγενεστάτω καὶ ὁμοίω καὶ διήκοντε ἀλλήλοιν[4]). Νόμος τε γὰρ[5]) παραιτητέος[6]) εἰς φύσιν καὶ φύσις

sini παντὶ jam significaveram ad Aristaen. p. 744. De his fortuitis simulacris monet Olear. videndum Philostr. V. A. 3, 13.

1) Vocabula τῆς αὐτῆς jungit constructione Jacobsius cum sequentibus participiis ad Imagg. p. 195.

2) Vid. Philostr. V. Apollon. Tyan. 4, 34. OL.

3) De figuris nubium remittit Olearius ad Philostr. V. A. 2, 22. Adde iis quae notavi ad Pselli Opuscula p. 259, Jacobsium ad Philostr. Imagg. p. 195.

4) E codice Par. scripsi ἀλλήλοιν pro Oleariana lectione ἀλλήλοις.

5) Inserui τε e codice Parisino. Particula τε saepe omissa, saepe male addita fuit. Oracula Sibyllina 4, 13: Οὐ νύξ τε δνοφερή τε, καὶ ἡμέρη, ἠέλιός τε. Delendum τε post δνοφερή. Libanius t. 1, p. 525: τὸ ξίφος δὲ μικροῦ διὰ παντὸς ἐχώρει τοῦ γένους, ὁμοίως πατέρων τε καὶ παίδων. Restitui τε e codice 963 deletum a Reiskio. Aristoteles citatus a Bessarione ap. Boivin. Hist. Acad. Inscript. t. 3, p. 285: τὰ δὲ εἴδη χαιρέτω· τερετίσματά τε γάρ εἰσι. Deleatur τε quo carent codex 3053 et editiones Philosophi Anal. Post. 1, 22, §. 8.

6) Sic est scriptum in codice Parisino. Olearius edidit παριτητέος.

εἰς νόμον, καὶ καλοῦμεν αὐτοῖν τὸ μὲν ἀρχὴν, τὸ δ᾽ ἑπόμενον. Κεκληρώσθω δὲ ἀρχὴν [1]) μὲν φύσις, νόμος δὲ τὸ ἕπεσθαι· οὔτε γὰρ νόμος ἐτειχοποίησεν, ἢ ὑπὲρ τείχους ὥπλισεν, εἰ μὴ φύσις ἔδωκεν ἄνω χεῖρας [2])· οὔτ᾽ ἂν ἡ φύσις τῶν ἐνεργούντων ἔδειξεν, εἰ μὴ τέχναι ἐνομίσθησαν· ἔδωκέ τε φύσις μὲν νόμῳ θάλασσαν, αἰθέρα, ἄστρα· νόμος δὲ αὖ φύσει γεωργίαν, ναυτιλίαν, ἀστρονομίαν, καὶ ὀνόματα κεῖσθαι ταῖς ὥραις· ἄργυρόν τε καὶ χρυσὸν, καὶ ἀδάμαντα καὶ μάργαρον· καὶ τὰ ὧδε σπανιστὰ, φύσις μὲν εὗρε, νόμος δ᾽ ἐτίμησε. Περιωπήσοις [3]) δ᾽ ἂν καὶ τὰ ἀνθρώπου ὁμοίως ἔχοντα. Φύσις μὲν ἔννουν δημιουργεῖ τὸν ἄνθρωπον καὶ λογικὸν καὶ εὐφυᾶ πάντα· νόμος δὲ παιδεύει, καὶ ὁπλίζει καὶ ὑποδεῖ καὶ ἀμφιέννυσιν, ἐπειδὴ γυμνὸς αὐτῷ παρὰ τῆς φύσεως πέμπεται. Προτίθησι δὲ ὁ νόμος καὶ ἀρετῆς ἆθλα ἀνθρώποις, οἷον τιμῶν τὴν φύσιν. Καὶ μὴ τὸν νόμον ἀφαιρώμεθα τὸν

---

1) De verbo *κληροῦσθαι* monui ad Theophyl. Simoc. p. 169. Anonymus De coma editus a Millero v. d. p. 37: *σιγὴ δὲ μακρὰ καὶ αἰδὼς πολλὴ καὶ οἰκουρία, καὶ ταλασία εὐφυὲς ἔργον, τῇ γυναικὶ προσκεκλήρωνται.*

2) Olear. et codex Paris., *χέρας*. Contrario mendo metrum accusativo *χεῖρας* corrupit librarius epigrammatis hujusce, in quo sunt alia gravissima vitia ex alio emendanda codice: *Οἷος ἀποστάζει μηρῶν πόθος! οἷον ἀκμαῖον Ὥριον ἐκ λαγόνων ἄνθος ἀποκρέμαται! Οἷον δ᾽ οἱ δροσόεντες ὑποιδαίνουσιν ἀκμαίως Αὐτοερυθρὰ φαιδρὰ σαλευόμενον! Τίς πλάστης τοιοῦτο τεχνήσατο; τρισμακάριστος Κεῖνος, ὃς ἐργοπόνους τῷ δ᾽ ἐπέθηκε χέρας.* — Pro *ἄνω* legam *ἀνθρώπῳ*.

3) Sic et cod. Paris.

τοῦ ἀθανάτου λόγου. Καὶ γὰρ εἰ καὶ φθαρτὰ ἐργάζεται, ἀλλ' ἀθάνατά γε αὐτὰ[1]) *ποιεῖ· ὄνομα δὲ αὐτῷ τέχνη. Ἠπείρου δὲ ἀποῤῥαγεῖσα*[2]) *νῆσος καὶ νήσῳ ξυμβαλοῦσα ἤπειρος, καὶ Πηνειὸς Ὀλύμπου διεκπεσὼν*[3]) *οὐ φύσεως ταῦτα οὐδὲ νόμου ἔργα· ἔστι τι ἀμφοῖν μέσον, ὃ καλεῖται συμβεβηκὸς, ὑφ' οὗ ὁ νόμος ὁμοιοῦται φύσει*[4]) *καὶ φύσις μεταβάλλει εἰς νόμον.*

---

1) Sic cod. Paris. Olearius, *ἀθάνατα τάγε αὐτά*, librarii vel sui lapsu calami. Eugenicus Epistola a Kaysero edita p. 178: *ἀσφαλῶς ἔχεται τὰ ἡμέτερα*, similis iteratio articuli *τὰ* peperit illud *ἔχεται*. Legendum *ἔχει*.

2) Oleariana, *ἀποῤῥωγεῖσα*, mendo typorum, ut videtur. Codex, *ἀπορραγεῖσα*. Philostratus Icon. 2, 17, p. 838: *ἡ δ' ἀποῤῥὼξ καὶ ἡ ἀποῤῥαγεῖσα πέτρα καὶ ὁ τῶν αἰθυιῶν δῆμος καὶ ὁ ἐν μέσαις ὄρνις ἀπὸ τοῦ τοιοῦδε γέγραπται λόγου.* Verba *καὶ ἡ ἀποῤῥαγεῖσα πέτρα* ut scholium deleri jubebat Pierson Verisim. p. 232, cui favet Jacobsii annotatio esse in codice Parisino deleta litura quatuor illa verba. Sed ipse deleri tantum suadet *ἡ δὲ ἀποῤῥαγεῖσα*, servatis *ἡ δ' ἀποῤῥὼξ πέτρα*, cui favet revera idem codex in quo tria *καὶ ἡ ἀπορραγεῖσα* verba tantum lituravit nescio quis. Bona ejusdem codicis lectio *ἀπὸ τοῦ τοιοῦδε* firmatur codice Vaticano 87, cujus varietatem mecum communicavit Bassus humanissime.

3) Philostratus Imagg. 2, 14, de Peneo olim undique montibus incluso ac stagnante: *ῥήξει γοῦν ὁ Ποσειδῶν τῇ τριαίνῃ τὰ ὄρη καὶ πύλας τῷ ποταμῷ ἐργάζεται.* Ibi Jacobs. Propius in descriptione Thessaliae Lucanus 6, 347: „postquam discessit Olympo Herculea gravis Ossa manu, subitaeque ruinam Sensit aquae Nereus..."

4) Olearius, *τῇ φύσει*. Codex Paris. sine *τῇ*. Obiter Himerio prodero Or. 28, 1, ubi de Apolline: *πᾶσαι πόλεις ἐπὶ θεὸν ἐστέλλοντο.* Reperi in codice, *ἐπὶ τὸν θ.* Quam

Verum ut ad Epistolas redeam Philostrati, non suffragor viris doctis qui omnes hucusque editas unius hominis esse existimavere, Lemnii nempe Philostrati, qui Juliae, conjugis Alexandri Severi, jussu conscripsit Vitam Apollonii Tyanensis. Certe quotquot sunt in ea collectione Epistolae ἐρωτικαὶ, eas non invitus ei concessero: tales enim ipsi tribuit Suidas, nec causam video ob quam ejus testimonium in dubium sit revocandum. Eam tamen quae agmen ducit in hisce Epistolis, Aspasiae inscripta vulgo, pro qua Aspasium substituendum esse in notis observavimus ad eam, neque generis ejusdem neque autoris esse ego quidem arbitror. Id quod invicto argumento evinci potest, si concedatur nobis, quod prolixius probavimus in Prolegomenis Generalibus, Vitae Apollonii et Sophistarum Historiae autorem esse eundem. Nam cum ille, in ea Historia lib. II. cap. ultimo, de Aspasio agens diserte memoret diversum a se autorem Epistolam quae ad Aspasium spectat agnoscere, nihil est quod amplius ad evincendam sententiam desiderari possit. Quod enim in codicibus MSS. reliquis non juncta inveniatur ea, sed seorsim fere in eis exhibeatur, nunc taceo, quemadmodum et id quod indoles ejus a reliquis sit plane diversa, qualis et est Epistolae IV, VII, VIII, IX, X, XI, XV, XVII, XIIX; quas proinde ad autorem a Philostrato Epistolarum ἐρωτικῶν autore di-

orationem dictam fuisse monet argumentum in quemdam φοιτήτην γενόμενον καὶ παρὰ γνώμη τῶν πατέρων αὐτόθι φοιτῶντα. Melius idem codex: παρὰ γνώμην τ. π. αὐτοῦ φοιτῶντα.

versum, si quis referendas esse itidem judicaverit, is me quidem non valde repugnantem habuerit.

Epistolas autem hasce primus quod sciam Anton. Bonfinius in Latinam linguam convertit, et juxta cum Heroicis, Iconibus et Vitis Sophistarum eadem lingua redditis, Matthiae Corvino obtulit, ex cujus bibliotheca Budensi in Vindobonensem juxta cum aliis ille codex commigravit, ut docet Lambecius Bibl. Vindob. lib. II. p. 995. Bonfinianam vero esse versionem, quae in Epistolarum collectione J. Cujacii nomen praeferente exhibetur itemque in editione operum Philostrati Morelliana, nescio unde hauserit cl. Fabricius in Bibliothecae Graec. lib. II. c. 10, p. 421 [t. 1, p. 689, §. 26; cf. t. 5, p. 551, H.]. Non satisfecerit ea, adhuc juveni licet, P. Lambecio oportet; nam, ut ex Epistola Lucae Holstenii ad eum patet, quae extat Bibl. Vindob. lib. VI, p. 239 *), earum nova versione illustrandarum consilium ceperat, quod ab eo, ut alia infinita, omissum, quo successu a nobis perfectum fuerit lectoribus relinquimus judicandum. Ad notas quod attinet, quales potuimus explicandoque autori maxime existimavimus conducere, dedimus. Quas enim Kimedoncius collectioni suae supra a nobis commemoratae addiderat, nostris fortasse magis elaboratas, eis fatorum invidia caremus. A Casanovano vero instructas, quas laudari

*) Holstenius Lambecio, editionis ejus Epistolarum a me curatae p. 348: „Philostrati Epistolarum versionem probo, et ut in publicum proferas, sed moroso examine castigatam, etiam hortor.“

se vidisse ait, ipsas non vidisse l. c. doctissimus Fabricius, nobis quoque videre non licuit *).

Ceterum occurrit in codicibus quibusdam manuscriptis scheda De characteribus epistolicis Philostrati nomen quae jactet. Meminit ejus in Bibliothecae Vindobonensis lib. V, p. 258, Lambecius, ejusque ἀπόγραφον ex codice Barocciano nobiscum communicatum fuit. Verum nihil aliud istud De charactere epistolico opusculum est quam ipsa Epistola ad Aspasium, quae primum locum in hac collectione quam edimus tuetur. Ei vero subjunctae sunt definitiones generis epistolarum eorumque quae sub eo genere sunt, qualia παραινετικὴ, συστατικὴ, εἰρωνικὴ, et reliquae, brevissimae. Quae uti Philostrati non sunt, ita ne viri quidem esse videntur eruditi, sed pueriles potius variorum nominum explicationes, ut sine taedio lectorum locum eas heic invenire non posse judicaverimus.

---

*) Nec viderat Harlesius, Fabricii editor, t. 5, p. 552. Librum qui possideo describam paulo diligentius quam talia curare soleo, propter raritatem. Impressus est Turnoni a. 1620, forma quaterna, titulumque praefert: „Lettres de Philostrate, mises de Grec en François, et illustrées d'annotations et remarques, par Louys de Caseneuve, conseiller et medecin du Roy.“ Convertit Casanova gallico idiomate Epistolas decem duntaxat, primam scilicet, 13am, 19am, 15am, 8am, 16am, 9am, 17am, 18am, 10am, adjectis animadversionibus eruditis, prolixis, unde criticus editor non multum proficiet. Monet etiam Cupeus Spicil. t. 2, p. 270, fecisse se gallicas in Vesperis Literariis plurimas e Philostrateis Epistolas. Sed quum noverim quam male imo pessime se cum aliis auctoribus gesserit ille Cupeus, ejus librum non omnino inventu facilem mihi comparare vix operae pretium esse credidi.

NOVI EDITORIS PRAEFATIO.

Me semper pudait editionis Heroicorum Philostrateorum meae. Quum typis excuderetur, Vincellis tunc temporis prope Altisiodorum habitabam, ac fuit a typographo fere solo curata, qui, quum circa calami mei non nitidos nexus haereret nimium, vicinum Bosquillonem medicum graece doctum consulturus adibat, sed rarenter, quod comperi serius. Multum quidem spei in Bastii viri amicissimi et desideratissimi diligentia ac doctrina reposueram; sed in Darmstadium et alia Germaniae loca fuerat muneris caussa excurrere coactus, unde tandem rediit libro fere absoluto. Quod in causa fuit cur mendis scateat, quarum plurimum quantum vel ego sustulissem, etsi ad talia parum oculatus, vel sustulisset lector typographo doctior. Ergo non sine voluptate certior sum factus ante annos jam plures de exemplorum apud bibliopolas raritate, et statim cogitavi de libro iterum edendo, de novis etiam notis conficiendis. Sed dum quaeritur typographus, dum alius et alius me a proposito labor avocat, rumor spargitur integris Philostratorum reliquiis sospitatorem exoriri, Kayserum, a quo editae exstant, praeclarum specimen, Sophistarum Vitae. Quem rumorem non falsum esse quum ab ipso viro doctissimo rescivissem, et intelligerem illi omnes esse in promtu codicum omnium lectiones summa cum diligentia et sumtibus non mediocribus

undique conquaesitas, melioribus ejus curis ac praestantiori doctrinae Heroica reliqui. Epistolas tamen, quas cum ceteris operibus edet, edo et ipse, opus levidense ac tenuis materiae, quod illas jam haberem ad codices, quos Parisiis nancisci valui, recensitas et commentario qualicumque ornatas, seu, ut verius loquar, oneratas. Nam hic meus est mos, verbis auctoris ad digressiones uti et abuti quoque. Vitium quidem est, fatebor enim; sed ferendum quadamtenus in auctoribus plerumque malis, etiam pessimis, quos edendos mihi sumsi. Atque in ea sum opinione sic me posse bibliopolarum rebus consulere. Nam qui auctorem spernit ipsum nec in manus sumere dignabitur, aegre tamen ejus editione carebit homo criticus et philologus, in cujus commentario ad aliorum illustrationem et emendationem frequenter excurritur.

Quibus de editionis hujus occasione et causa praemissis, narrabo quae habuerim recensionis subsidia.

Editionibus usus sum Aldina, Genevensi, Morelliana, Meursiana et Oleariana; codice autem Parisino 1696, in notis, brevitatis causa, litera A designato, cui insunt epistolae triginta quatuor; Parisino 2551 = B; Vaticano 140 = C, quem olim raptim inspexi idque Parisiis, quo fuerat a victore missus cum reliquis Italiae spoliis; Parisino 1657 = D, qui Epistolas duntaxat quatuordecim continet; Parisinis 3026 = E, in quo sunt Epistolae quadraginta; recentissimo 2885 = F, in quo Epistolae quinque et quadraginta; Supplementario 352 = G, cujus folium 150 sede propria avulsum et huc casu quodam insertum extremam exhibet sententiam Epistolae quin-

quagesimae septimae, tum epistolas integras duodecim. Has sequitur ἐγκώμιον γεωργίας nescio cujus; an Philostrati: τὴν γεωργίαν ἐπαινοῦσι μὲν οἱ σοφοὶ, ζηλοῦσι δὲ πάντες οἱ ἀγαθοί· ἤδη δέ τινες ἀναγκάζονται. Cetera desunt.

Haec de codicibus summatim et tenuiore filo a me dicta erunt mihi quidem satis. Si qui plura desiderabunt de cujusque aetate, materia, continentia, origine, exspectent Kayseri praefationem viri d., a quo nihil omittetur mentione dignum, et omnia melius atque dilucidius tradentur quam ego facere valerem, qui ab eo cum doctrinae amplitudine tum diligentia et accurata industria superari me confiteor.

Epistolas quatuor et septuaginta Olearium secutus exhibeo. Quod moneo ne plures exstare opinetur qui forte inciderit in vocabulum Βουκόλιον Thesauri Stephaniani. Ibi enim Stephanus allegavit e Philostrati Epistola 77 exemplum hocce: ἐρυθρῷ ῥάκει τὰ βουκόλια διετάραξε. Sed lapsu calami Philostratum pro Theophylacto Simocatta scripsit Stephanus.

Parisiis a. d. VI. id. Febr. MDCCCXLII.

ΦΙΛΟΣΤΡΑΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ.(1)

ἈΣΠΑΣΙῼ(2).

Τὸν ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου μετὰ τοὺς παλαιοὺς ἄριστά μοι δοκοῦσι διεσκέφθαι (3) φιλοσόφων μὲν ὁ Τυανεὺς (4) καὶ Δίων (5), στρατηγῶν δὲ Βροῦτος (6) ἢ ὅτῳ Βροῦτος ἐς τὸ ἐπιστέλλειν ἐχρῆτο (7), βασιλέων δὲ ὁ θεσπέσιος Μάρκος (8), ἐν οἷς αὐτὸς ἐπέστελλε· πρὸς γὰρ τῷ κεκριμένῳ τοῦ λόγου (9), καὶ τὸ ἑδραῖον τοῦ ἤθους ἐντετύπωται τοῖς γράμμασι. Ῥητόρων δὲ ἄριστα μὲν Ἡρώδης ὁ Ἀθηναῖος ἐπέστελλεν· ὑπεραττικίζων (10) δὲ καὶ ὑπερλαλῶν, ἐκπίπτει πολλαχοῦ τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος· δεῖ γὰρ φαίνεσθαι τὴν τῶν ἐπιστολῶν ἰδέαν, ἀττικωτέραν μὲν συνηθείας, συνηθεστέραν δὲ ἀττικίσεως (11), καὶ συγκεῖσθαι μὲν πολιτικῶς, τοῦ δὲ ἁβροῦ μὴ ἀπᾴδειν (12). Ἐχέτω καὶ τὸ εὔσχημον ἐν τῷ μὴ ἐσχηματίσθαι (13)· εἰ γὰρ σχηματιοῦμεν, φιλοτιμεῖσθαι δόξομεν· φιλοτιμία δὲ ἐν ἐπιστολῇ μειρακιῶδες (14). Κύκλον δὲ ἀπο-

τορνεύειν ([15]), ἐν μὲν ταῖς βραχυτέραις τῶν ἐπιστολῶν συγχωρῶ, ἵνα τούτῳ γοῦν ἡ βραχυλογία ὡραΐζοιτο ἐς ἄλλην ἠχὼ ([16]), πᾶσα στενὴ οὖσα· τῶν δὲ ἐς μῆκος παρηγμένων ἐπιστολῶν ἐξαιρεῖν χρὴ τοὺς κύκλους ([17])· ἀγωνιστικώτερον γὰρ ἢ κατὰ ἐπιστολὴν ([18]) τοῦτο· πλὴν εἰ μή που ἐπὶ τελευτῆς τῶν ἐπεσταλμένων, ἢ ξυλλαβεῖν δέοι τὰ προειρημένα, ἢ ξυγκλεῖσαι ([19]) τὸ ἐπὶ πᾶσι νόημα. Σαφήνεια δὲ ἀγαθὴ μὲν ἡγεμὼν ἅπαντος λόγου, μάλιστα δὲ ἐπιστολῆς ([20])· καὶ γὰρ διδόντες καὶ δεόμενοι, καὶ ξυγχωροῦντες καὶ μὴ, καὶ καθαπτόμενοι καὶ ἀπολογούμενοι, καὶ ἐρῶντες, ῥᾷον πείσομεν εἰ σαφῶς ἑρμηνεύσομεν· σαφῶς δὲ ἑρμηνεύσομεν καὶ ἔξω εὐτελείας, ἢν τῶν νοηθέντων τὰ μὲν κοινὰ καινῶς φράσωμεν, τὰ δὲ καινὰ κοινῶς ([21]).

β. ΒΕΡΕΝΙΚΗι ([1]).

Ἡ πυρσαίνουσα μίλτος τὰ χείλη καὶ τὴν παρειὰν γράφουσα ([2]), κώλυμα φιλημάτων. Κατηγορεῖ ([3]) δὲ καὶ γῆρας τοῦ προσώπου, ὑφ᾽ οὗ πελιδνὸν μὲν τὸ στόμα, ῥυσσὴ δὲ ἡ παρειὰ καὶ ἔξωρος ([4]). Ἴσχε δὴ ([5]) χρωματοποιΐαν, καὶ μηδὲν ἐπιποίει τῷ κάλλει ([6]), μὴ καὶ γράψωμαί σε γήρως ἐπὶ τῇ τοῦ προσώπου γραφῇ ([7]).

γ. ἈΘΗΝΟΔΩΡΩι.

Οἱ ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾶν ([1])· σὺ δ᾽, ἀκοὴν σπάσας, ἐρᾷς ([2]) Ἰωνικοῦ μειρακίου, οἰκῶν

Κόρινθον. Τουτὶ δὲ μανικὸν (3) φαίνεται τοῖς οὔπω εἰδόσιν ὅτι νοῦς ὁρᾷ (4).

δ'. ἘΠΙΚΤΗΤΩι (1).

Εἰ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πελαργοὺς, ἐπειδὰν παριόντας ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον, τοσούτῳ σωφρονέστερον τοῦ Ἀθηναίων (2), ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν (3).

ε'. ἈΡΙΣΤΟΒΟΥΛΩι (1).

Τὸ ἐρῶντα (2) καρτερεῖν σωφρονέστερον τοῦ μηδὲ ἐρασθῆναι. καὶ γὰρ δὴ καὶ τὰ πολεμικὰ ἄνδρες οὐχ οἱ μὴ τρωθέντες, ἀλλ' οἱ νικῶντες ἐν τραύμασιν.

ϛ'. ἈΘΗΝΑΪΔΙ.

Τὸ μὲν μὴ ἐρῶντι χαρίζεσθαι Λυσίου δόξα, τὸ δὲ ἐρῶντι δοκεῖ Πλάτωνι, σοὶ δὲ (1) καὶ ἐρῶντι καὶ μὴ ἐρῶντι· τοῦτο δὲ σοφὸς μὲν οὐδεὶς, Λαῒς δὲ (2), οἶμαι, ἐπήνει.

ζ'. ἘΠΙΚΤΗΤΩι.

Φοβοῦ δῆμον, παρ' ᾧ πολλὰ δύνασαι.

η'. ΧΑΡΙΤΩΝΙ.

Μεμνήσεσθαι τῶν σῶν λόγων οἴει τοὺς Ἕλληνας, ἐπειδὰν (1) τελευτήσῃς. Οἱ δὲ μηδὲν ὄντες ὁπότε εἰσὶ τίνες ἂν εἶεν ὁπότε οὐκ εἰσί (2);

θ'. ΝΕΣΤΟΡΙ (1).

Ἔπεμψά σοι σῦκα ἠρινά. Θαυμάζοις δ' ἂν αὐτῶν ἢ τὸ ἤδη ἢ τὸ ἔτι (2).

ι΄. ΔΙΟΔΩΡΩι (1).

Τὰς ἀπυρήνους ῥόας(2) Ἐρυθραὶ κηπεύουσιν, οἰνοχοούσας νᾶμα πότιμον, ὥσπερ τῶν βοτρύων οἱ εὖ πράττοντες. Δέκα σοὶ τούτων τρυγήσας ἔπεμψα. Χρῶ δὲ αὐταῖς, σιτούμενος μὲν ὡς οἴνῳ, μεθύων δὲ ὡς σίτῳ.

ια΄. ΦΙΛΗΜΟΝΙ.

Τὸν τραγῳδὸν Διοκλέα (1), εἰ μὲν ἤδη γινώσκεις, ἐπαινεῖς δή που· εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε, καὶ γενοῦ περὶ αὐτὸν οἷον εἰκὸς ἢ τὸν πεπεισμένον, ἢ τὸν μὴ ἀπιστοῦντα.

ιβ΄. ΜΕΙΡΑΚΙΩι (1).

Καὶ σὺ πονηρὸς οὕτως ὡς μηδένα ἄλλον ἐλεεῖν, κἀγὼ δυστυχὴς οὕτως ὡς μηδὲ παρ' ἄλλου λαβεῖν (2). Καὶ πάνυ χαίρω τῇ κακοπραγίᾳ, βουλόμενος μὴ παύσασθαι διαμαρτάνων, ἵνα παύσῃ μηδὲ σὺ τῆς ἐπὶ τῷ μιαρῷ τοῦ τρόπου κακοδοξίας. τὸ μὲν γὰρ ἐμὸν, μιᾶς ἔργον ἡδονῆς· τὸ δὲ σὸν, κοινὸν, εἰς διαβολὴν, τῆς παρὰ πάντων αἰτίας.

ιγ΄. ἸΟΥΛΙΑι ΣΕΒΑΣΤΗι (1).

Οὐδὲ ὁ θεσπέσιος Πλάτων τοῖς σοφισταῖς ἐβάσκηνε (καὶ σφόδρα ἐνίοις δοκεῖ (2) τοῦτο), ἀλλὰ φιλοτίμως πρὸς αὐτοὺς εἶχεν, ἐπειδὴ διεφοίτων θέλγοντες μικράς τε καὶ μείζους πόλεις, τὸν Ὀρφέως καὶ Θαμύρου τρόπον (3)· τοῦ δὲ βασκαίνειν ἀπέσχε τοσοῦτον, ὅσον φιλοτιμία φθόνου. Φθόνος μὲν γὰρ τρέφει τὰς μοχθηρὰς φύ-

σεις, φιλοτιμία δὲ τὰς λαμπρὰς ἐγείρει· καὶ βασκαίνει μέν τις τὰ μὴ ἑαυτῷ ἐφικτά· ἃ δὲ ἄμεινον ἢ μὴ χεῖρον διαθήσεται, φιλοτιμεῖται πρὸς ταῦτα. Ὁ γοῦν Πλάτων καὶ εἰς τὰς ἰδέας τῶν σοφιστῶν ἵεται, καὶ οὔτε τῷ Γοργίᾳ παρίησι τὸ ἑαυτοῦ ἄμεινον γοργιάζειν (4), πολλά τε κατὰ τὴν Ἱππίου καὶ Πρωταγόρου ἠχὼ (5) φθέγγεται. Ζηλωταὶ δὲ ἐγένοντο, ἄλλοι μὲν ἄλλων· καὶ γὰρ δὴ καὶ ὁ τοῦ Γρύλλου (6) φιλοτιμεῖται πρὸς τὸν τοῦ Προδίκου Ἡρακλέα (7), ὁπότε ὁ Πρόδικος τὴν Κακίαν καὶ τὴν Ἀρετὴν ἄγει παρὰ τὸν Ἡρακλέα καλούσας αὐτὸν εἰς βίου αἵρεσιν. Γοργίου δὲ θαυμασταὶ ἦσαν ἄριστοί τε καὶ πλεῖστοι, πρῶτον μὲν οἱ κατὰ Θετταλίαν Ἕλληνες (8), παρ' οἷς τὸ ῥητορεύειν γοργιάζειν ἐπωνυμίαν ἔσχεν, εἶτα τὸ ξύμπαν Ἑλληνικὸν, ἐν οἷς Ὀλυμπιάσι διελέχθη (9) κατὰ τῶν Βαρβάρων ἀπὸ τῆς τοῦ νεὼ βαλβῖδος (10)· λέγεται δὲ καὶ Ἀσπασία ἡ Μιλησία (11) τὴν τοῦ Περικλέους γλῶτταν κατὰ τὸν Γοργίαν θῆξαι. Κριτίας (12) δὲ καὶ Θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρῦν (13) παρ' αὐτοῦ κεκτημένοι, μεταποιοῦντες δὲ αὐτὸ εἰς τὸ οἰκεῖον, ὃ μὲν ὑπ' εὐγλωττίας, ὃ δ' αὖ ὑπὸ ῥώμης. Καὶ Αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ Σωκράτους (14), ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος (15), οὐκ ὤκνει γοργιάζειν (16) ἐν τῷ περὶ τῆς Θαργηλίας λόγῳ (17)· φησὶ γάρ που ὧδε· „Θαργηλία ἐλ-

θοῦσα εἰς Θετταλίαν, ξυνῆν Ἀντιόχῳ Θετταλῷ, βασιλεύοντι πάντων Θετταλῶν[18]." Αἱ δὲ ἀποστάσεις [19] εἴτε προσβολαὶ τῶν λόγων [20] Γοργίου ἐπεχωρίαζον πολλαχοῦ μὲν, μάλιστα δὲ ἐν τῷ τῶν ἐποποιῶν κύκλῳ[21]. Πεῖθε δὴ καὶ σὺ, ὦ βασίλεια, τὸν θαρσαλεώτερον [22] τοῦ Ἑλληνικοῦ Πλούταρχον μὴ ἄχθεσθαι τοῖς σοφισταῖς, μηδὲ εἰς διαβολὰς καθίστασθαι τοῦ Γοργίου. Εἰ δὲ οὐ πείθεις, σὺ μὲν, οἵα σου σοφία [23] καὶ μῆτις, οἶσθα τί χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε· ἐγὼ δὲ εἰπεῖν ἔχων, οὐκ ἔχω [24].

ιδ'. ΚΤΗΣΙΔΗΜΩι. *

Οἱ ἐρωτικοὶ τῶν ποιητῶν ἀγαθὴ ἀκρόασις[1] καὶ ἐξώροις· ἄγουσι γὰρ αὐτοὺς ἐς ἔννοιαν τοῦ ἐρᾶν, ὥςπερ ἀνηβηκότας. Μὴ δὴ νόμιζε σεαυτὸν ὑπερήμερον [2] τῆς τούτων ἀκροάσεως· ἡ γὰρ ξυνουσία τῶν τοιῶνδε ποιητῶν ἢ οὐκ ἐπιλήσει σε ἀφροδισίων, ἢ ἀναμνήσει.

ιε'. ἘΠΙΚΤΗΤΩι.

Οἱ τελούμενοι τῇ Ῥέᾳ μαίνονται[1] πληγέντες τὰ ὦτα κτύποις ὀργάνων. Ἀλλ' ἐκεῖνα μὲν, κυμβάλων καὶ αὐλοῦ ἔργα· σὲ δὲ οὕτως ἐκπλήττουσιν Ἀθηναῖοι κροτοῦντες, ὡς ἐκλανθάνεσθαι τίς εἶ καὶ τίνων γέγονας.

ιϛ'. ΚΛΕΟΦΩΝΤΙ ΚΑΙ ΓΑΙΩι.

Ὑπὲρ ὧν ἐπέσταλται, τὰ μὲν ἤδη γέγονε, τὰ δὲ αὐτίκα ἔσται. Ἐγὼ γὰρ, Λήμνιος ὢν, πατρίδα ἐμαυτοῦ καὶ τὴν Ἴμβρον νομίζω [1], συνάπτων

εὐνοίᾳ καὶ τὰς νήσους ἀλλήλαις καὶ ἐμαυτὸν ἀμφοτέραις.

ιζ'. ΑΙΡΕΤΙΑΝΩι.

Τὸ ποιητικὸν ἔθνος πολλοὶ (1), καὶ πλείους ἢ οἱ τῶν μελιττῶν ἐσμοί· βόσκουσι δὲ τὰς μὲν λειμῶνες, τοὺς δὲ οἰκίαι καὶ πόλεις· ἀνθεστιῶσί τε οἱ μὲν κηρίοις, οἱ δὲ ὀψοποιΐᾳ λαμπρᾷ (2)· εἰσὶ δὲ τῶν ποιητῶν οἱ καὶ τραγήμασιν ἑστιῶντες. Τούτους δὲ ἡγώμεθα τοὺς τῶν ἐρωτικῶν ποιητάς, ὧν εἷς καὶ Κέλσος (3) οὗτος, ᾠδαῖς παραδεδωκὼς τὸν ἑαυτοῦ βίον, ὥσπερ οἱ χρηστοὶ τέττιγες. Ὡς δ' ἂν μὴ δρόσῳ (4), ἀλλὰ σιτίοις τραφείη, πεπίστευκά σοι μελήσειν.

ιη'. ἈΝΤΩΝΙΝΩι.

Οἱ πελαργοὶ τὰς πεπορθημένας πόλεις οὐκ ἐσπέτονται, κακῶν πεπαυμένων ἠχῷ φεύγοντες. Σὺ δὲ οἰκίαν οἰκεῖς ἣν αὐτὸς ἐπόρθησας, καὶ θεοῖς τοῖς ἐν αὐτῇ θύεις, ὥσπερ οὐκ οὖσιν (1), ἢ οὖσι μέν, ἐκλελησμένοις δὲ ὅτι καὶ τὰ ἐκείνων ἔχεις.

ιθ'. ΜΕΙΡΑΚΙΩι (1).

Χαῖρε, κἂν μὴ θέλῃς· χαῖρε, κἂν μὴ γράφῃς, ἄλλοις καλέ, ἐμοὶ δὲ ὑπερήφανε. Οὐκ ἦσθα συγκείμενος ἐκ σαρκὸς, καὶ τῶν ὅσα τούτῳ κίρναται (2), ἀλλὰ ἐξ ἀδάμαντος (3) καὶ πέτρας καὶ Στυγός. Ταχέως σε θεασαίμην (4) γενειῶντα, καὶ παρ' ἀλλοτρίαις θύραις κείμενον (5). Ναὶ Ἔρως, ναὶ Νέμεσις ὀξεῖς θεοὶ καὶ στρεφόμενοι (6).

κ΄. ΓΥΝΑΙΚΙ (1).

Ἡ Δανάη χρυσὸν ἐλάμβανεν, ἡ Λήδα ὄρνιθας (2), ἡ Εὐρώπη τὰ ἐξ ἀγέλης, ἡ Ἀντιόπη ὅσα ὄρεια, ἡ Ἀμυμώνη τὰ ἐν θαλάττῃ (3)· οἱ δὲ ποιηταὶ τὰ δῶρα μύθους ἐποίησαν (4), παράγοντες τὴν ἀλήθειαν ψυχαγωγίᾳ (5) ψευσμάτων. Λάβε, λάβε καὶ σὺ, τὸν ἀκκισμὸν (6) ἀφελοῦσα τοῦ μεγαλογνώμονος καὶ τὴν εἰρωνείαν ἀφεῖσα τοῦ σώφρονος (7), ἵνα κἀγὼ Ζεὺς γένωμαι καὶ Ποσειδῶν, διδοὺς μὲν ἃ θέλεις, ἃ δὲ θέλω λαμβάνων.

κα΄. ΤΗι ΑΥΤΗι.

Ὁ Μῶμος τῶν μὲν ἄλλων οὐδὲν ἔφη τῆς Ἀφροδίτης (1) αἰτιάσασθαι· τί γὰρ ἂν καὶ ἐμέμψατο (2); ἓν δὲ μόνον δυσχεραίνειν ἔφη, ὅτι τρύζοι αὐτῇ τὸ ὑπόδημα (3), καὶ λίαν εἴη λάλον καὶ τῷ ψόφῳ ὀχληρόν. Εἰ δὲ ἀνυπόδετος (4) ἐβάδιζεν ὥσπερ ἀνέσχεν (5) ἐκ τῆς θαλάττης, οὐκ ἄν ποτε ηὐπόρησε σκωμμάτων οὐδὲ κωμῳδίας ὁ ἀλιτήριος (6). καί μοι δοκεῖ μηδὲ μοιχευομένη διὰ τοῦτο μόνον λαθεῖν, ὅτι πάντα ὁ Ἥφαιστος ἔγνω τὰ κεκρυμμένα, τοῦ σανδαλίου διαβαλόντος (7). Ταῦτα μὲν ἡμῖν ὁ μῦθος· σὺ δὲ καὶ τῆς Ἀφροδίτης ἔοικας βουλεύεσθαι ἄμεινον χρωμένη τοῖς ποσὶν, ὡς ἐτάχθης (8), καὶ φεύγουσα τοῦ Μώμου τὰ ἐγκλήματα. Ὦ ἄδετοι πόδες, ὦ κάλλος ἐλεύθερον! ὦ τρισευδαίμων ἐγὼ καὶ μακάριος, ἐὰν πατῇ με (9)!

κβ'. ΜΕΙΡΑΚΙΩι ἈΝΥΠΟΔΗΤΩι (1).

Μαλακώτερον διετέθης ὑπὸ τοῦ σανδαλίου· θλίβει σε, ὡς πέπεισμαι· δειναὶ γὰρ δακεῖν σάρκας ἁπαλὰς αἱ τῶν δερμάτων καινότητες (2). Διὰ τοῦτο ὁ Ἀσκληπιὸς, τὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα καὶ πάσης τῆς τοιαύτης τύχης (3), ἰᾶται (4) ῥᾳδίως, ταῦτα δὲ ἐᾷ διὰ τὸ ἑκούσιον, ὡς ἀνοίᾳ μᾶλλον ἢ ἐπηρείᾳ δαιμόνων γενόμενα (5). Τί δὲ οὐκ ἀνυπόδετος βαδίζεις; τί δὲ τῇ γῇ φθονεῖς (6); Βλαυτία καὶ σανδάλια καὶ κρηπῖδες καὶ πέδιλα νοσούντων εἰσὶ φορήματα (7) ἢ γερόντων. Τὸν γοῦν Φιλοκτήτην ἐν τούτοις γράφουσι τοῖς ἐρύμασιν (8), ὡς χωλὸν καὶ ὡς νοσοῦντα (9), τὸν δὲ ἐκ Σινώπης φιλόσοφον (10) καὶ τὸν Θηβαῖον Κράτητα καὶ τὸν Αἴαντα καὶ τὸν Ἀχιλλέα ἀνυποδέτους, καὶ τὸν Ἰάσονα ἐξ ἡμισείας (11). Λέγεται γὰρ ὡς τὸν Ἄναυρον διαβαίνοντος αὐτοῦ τὸν ποταμὸν ἐνεσχέθη κρηπὶς τῷ ῥεύματι, εἰς ἀντίληψιν τῆς ἰλύος γενομένης· καὶ Ἰάσων οὕτως ἠλευθέρωτο (12) τῶν ποδῶν τὸν ἕτερον, τύχῃ τὸ δέον διδαχθεὶς, οὐ γνώμῃ ἑλόμενος, καὶ ἀπῄει καλῶς σεσυλημένος. Μηδὲν ἔστω σοι μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός (13). Μὴ φοβηθῇς. Δέξεται τὴν βάσιν ἡ κόνις, ὡς πόαν (14), καὶ τὸ ἴχνος προσκυνήσομεν πάντες. Ὦ ῥυθμοὶ ποδῶν φιλτάτων! ὦ καινὰ ἄνθη, ὦ γῇ φιλήματα ἐρηρεισμένα!

κγ'. ΓΥΝΑΙΚΙ ΚΑΠΗΛΙΔΙ.

Πάντα μὲ αἱρεῖ (1) τὰ σά· καὶ ὁ λινοῦς χιτὼν ὡς ὁ τῆς Ἴσιδος (2), καὶ τὸ καπηλεῖον ὡς Ἀφροδίσιον, καὶ τὰ ἐκπώματα ὡς Ἥρας ὄμματα (3), καὶ ὁ οἶνος ὡς ἄνθος (4), καὶ τῶν τριῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον (5), ὥσπερ αἱ τῶν φύλλων τῶν ἐν τοῖς ῥόδοις ἐκβολαί (6). Κἀγὼ μὲν φοβοῦμαι μὴ πέσῃ· τὸ δὲ ἕστηκεν ὀχυρῶς, ὡς γνώμῃ ἐρηρεισμένον (7), καὶ τοῖς δακτύλοις συμπέφυκεν. Εἰ δὲ καὶ ἀποπίοις ποτὲ, πᾶν τὸ καταλειπόμενον γίνεται θερμότερον τῷ ἄσθματι (8), ἥδιον δὲ καὶ τοῦ νέκταρος. Κάτεισι γοῦν ἐπὶ τὴν φάρυγγα ἀκωλύτοις ὁδοῖς, ὥσπερ οὐκ οἴνῳ κεκραμένον, ἀλλὰ φιλήμασιν.

κδ'. ΤΗι ΑΥΤΗι.

Ἐξ ὑέλου μὲν τὰ ἐκπώματα· αἱ δὲ σαὶ χεῖρες ἄργυρον αὐτὰ ποιοῦσι καὶ χρυσὸν, ὡς καὶ τούτοις (1) τὸ βλέπειν ὑγρῶς παρὰ τῶν σῶν ὀμμάτων (2) εἶναι. Ἀλλὰ (3) τοῖς μὲν ἄψυχον καὶ ἀκίνητον τὸ διειδὲς, καθάπερ τῶν ὑδάτων τοῖς ἑστηκόσι (4). τὰ δὲ ἐν τοῖς προσώποις ἐκπώματα (5) τῇ τε ἄλλῃ ὑγρότητι εὐφραίνειν ἔοικε καὶ τῇ συνέσει τῶν φιλημάτων· ὥστε ἐκεῖνα μὲν κατάθου, καὶ χαίρειν ἔα, τά τε ἄλλα, καὶ διὰ τὸν ἐν τῷ σφαλερῷ τῆς ὕλης φόβον· ἐμοὶ δὲ μόνοις πρόπινε τοῖς ὄμμασιν (6), ὧν καὶ ὁ Ζεὺς γευσάμενος, καλὸν οἰνοχόον (7) παρεστήσατο. Εἰ

δὲ βούλει, τὸν μὲν οἶνον μὴ παραπόλλυε· μόνου δὲ ἐμβαλοῦσα ὕδατος (8), καὶ τοῖς χείλεσι προσφέρουσα, πλήρου φιλημάτων τὸ ἔκπωμα, καὶ δίδου τοῖς δεομένοις. Ἔστι γὰρ οὐδεὶς ἀνέραστος οὕτως, ὡς (9) ποθεῖν ἔτι τὴν Διονύσου χάριν, μετὰ τὰς τῆς Ἀφροδίτης ἀμπέλους (10).

κε'. ΤΗι ΑΥΤΗι (1).

Τὰ μὲν (2) ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων (3), ὡς δύνασθαι δι' αὐτῶν καὶ τὴν ψυχὴν ἰδεῖν· τὸ δὲ τῶν παρειῶν ἐρύθημα εὔχρουν ὑπὲρ αὐτὸν τὸν οἶνον· τὸ δὲ λινοῦν τοῦτο χιτώνιον ἀντιλάμπει (4) ταῖς παρειαῖς· τὰ δὲ χείλη βέβαπται τῷ τῶν ῥόδων αἵματι. Καί μοι δοκεῖς καὶ τὸ ὕδωρ φέρειν (5) ὡς ἀπὸ πηγῶν τῶν ὀμμάτων καὶ διὰ τοῦτο εἶναι νυμφῶν μία. Πόσους ἱστᾷς ἐπειγομένους (6); πόσους κατέχεις παρατρέχοντας; πόσους μὴ φθεγξαμένη καλεῖς (7); ἐγὼ πρῶτος ἐπειδὰν ἴδω σε (8), διψῶ, καὶ ἵσταμαι μὴ θέλων, καὶ τὸ ἔκπωμα (9) κατέχων, τὸ μὲν οὐ προσάγω τοῖς χείλεσι, σοῦ δὲ οἶδα πίνων.

κϛ'. ΜΕΙΡΑΚΙΩι (1).

Οὐδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν (2a), ἀλλ' αἰχμαλώτου ἐρωμένης κατετόλμησεν ὀργισθεὶς, ἣν οὐδὲ αὐτὸς ἀποκείρας ἠνέσχετο· κλαίει γοῦν καταπεσὼν, καὶ μεταγινώσκει τῷ φόνῳ (2b) τῶν τριχῶν· ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα. Σὺ δὲ οὐκ οἶδα τί μαθὼν σεαυτῷ πεπολέμηκας (3), ὦ ἀνδροφόνε

τῆς κεφαλῆς. Τί ἔδει μαχαιρῶν ἐπὶ τὰς τρίχας; τί δὲ ἐχουσίων καὶ πολλῶν τραυμάτων; οἷον θέρος ἐξεκόψας! οὐ δὲ οἱ ποιηταί σε ἐπαίδευσαν, τοὺς Εὐφόρβους ([4]) καὶ τοὺς Μενελάους ([5]) εἰσάγοντες κομῶντας καὶ ὅλον τὸ τῶν Ἀχαιῶν στρατόπεδον ([6])· καὶ εἴ τις αὐτοῖς καλὸς ποταμὸς, κομᾷ ([7]). Ὡς γὰρ χρυσὸς ἀνάθημα καὶ ἄργυρος, οὕτω καὶ τρίχες ([8]) κομῶσαι. Οἱ μὲν γὰρ Βάρβαροι πίλοις κεκόσμηνται, οἱ Ἕλληνες κράνεσιν, οἱ ὀφθαλμοὶ βλεφάροις, αἱ δὲ νῆες ἱστίοις, ἡ δὲ γῆ ὄρεσι, τὰ δὲ ὄρη νάπαις, ἡ δὲ θάλασσα νήσοις, οἱ δὲ ταῦροι κέρασιν, οἱ ποταμοὶ τέμπεσιν, αἱ πόλεις τείχεσιν· φοβερώτερος δὲ καὶ λέων ὁ λάσιος, καὶ ἵππος ὁ ἤδη τῇ χαίτῃ πεποιθὼς ([9]), καὶ ἀλεκτρυὼν μαχιμώτερος ὁ τὰ κάλλαια ([10]) ἐγηγερκώς. τιμῶσι δὲ οἱ σοφοὶ καὶ τῶν ἀστέρων τοὺς κομήτας, καὶ τῶν ἱερέων τοὺς τὰς κόμας ἀνέτους, καὶ τῶν θεῶν ἄλλον ἄλλως ([11]), τὸν Ποσειδῶνα ὡς κυανοχαίτην ([12]), τὸν Ἀπόλλωνα ὡς ἀκερσεκόμην ([13]), τὸν Πᾶνα ὡς δασὺν, τὴν Ἶσιν ὡς λυσίκομον ([14]), τὸν Διόνυσον ὡς μετὰ τῶν τριχῶν καὶ τῷ κιττῷ κομῶντα. Ἀφροδίτη δὲ οὐδὲ πενθοῦσα ([15]) ἀπεκείρατο. Ἤκουσά ([16]) γε μὴν ἀνδρὸς σοφοῦ καὶ τὰς ἀκτῖνας λέγοντος κόμας ἡλίου ([17]), καὶ τὸν Δία σεμνότερον τῶν ἄλλων θεῶν ὅτι τὴν κόμην σείει ([18]), κἂν ἐπινεύσῃ, οὐ ψεύδεται ([19]). Ὁ δὲ Ἑρμῆς κομᾷ καὶ τῷ ([20]) κροτάφῳ καὶ τοῖς σφυροῖς.

Τότε ἀποκείρεται καὶ πόλις ὅτε ἁλίσκεται (21), καὶ γυνὴ τότε ἀφίησι τῆς κεφαλῆς τὸ κάλλος ὅτε πενθεῖ, καὶ γῆς λιμὸς ὅτε μὴ κομᾷ (22). Ἀλλὰ δένδρον μὲν πεσὸν κλάεται καὶ ποιητὴς μεγαλόφωνος πολλὰ ἐπ' αὐτῷ λέγει (23)· σὺ δὲ φύλλα τοσαῦτα ἐκτεμὼν οὐ δακρύεις. Φέρε εἴπω σοι τὸν ἐπιτάφιον τῆς κόμης (24)· ὢ κάλλους ἀκρόπολις! ὢ ἔρωτος ἄλσος! ὢ ἄστρα κεφαλῆς (25)!

κζ'. ΜΕΙΡΑΚΙΩι (1).

Οἱ Λακεδαιμόνιοι φοινικοβαφεῖς ἐνεδύοντο θώρακας (2), ἢ ἵνα ἐκπλήττωσι τοὺς ἐναντίους (3) τῷ φοβερῷ τῆς χροιᾶς, ἢ ἵνα ἀγνοῶσι τὸ αἷμα τῇ κοινωνίᾳ τῆς βαφῆς· ὑμᾶς δὲ δεῖ τοὺς καλοὺς (4) μόνοις ῥόδοις ὁπλίζεσθαι, καὶ ταύτην λαμβάνειν παρὰ τῶν ἐραστῶν τὴν πανοπλίαν (5). Ὑάκινθος μὲν οὖν λευκῷ μειρακίῳ πρέπει, καὶ νάρκισσος μέλανι, ῥόδον δὲ πᾶσιν, ὡς καὶ μειράκιον πάλαι ὄν, καὶ ἄνθος καὶ φάρμακον καὶ μύρον (6). Ταῦτα Ἀγχίσην ἀνέπεισε (7), ταῦτα Ἄρην ἀπέλυσε (8), ταῦτα Ἄδωνιν ἐλθεῖν ὑπέμνησε· ταῦτα ἦρος κόμαι (9), ταῦτα γῆς ἀστραπαὶ, ταῦτα Ἔρωτος αἱ λαμπάδες (10).

κη'. ΓΥΝΑΙΚΙ.

Εἰ κἀμὲ φεύγεις, ἀλλ' ὑπόδεξαι κἂν (1) τὰ ῥόδα ἀντ' ἐμοῦ. Καί σου δέομαι μὴ στεφανοῦσθαι μόνον, ἀλλὰ καὶ κοιμηθῆναι ἐπ' αὐτῶν (2). Καὶ γὰρ ἔστιν ἰδεῖν μὲν καλὰ, οἷαν τὸ πῦρ ἔχει τὴν ἀκμήν· ἅψασθαι δὲ μαλακὰ, καὶ πάσης στρω-

μνῆς ἁπαλώτερα (³), ὑπὲρ τὸν Βαβυλώνιον κόκκον καὶ τὴν Τυρίαν πορφύραν (⁴)· καὶ γὰρ εἰ σπουδαῖα ἐκεῖνα, ἀλλ' οὐ πνεῖ καλόν. ἐνετειλάμην αὐτοῖς καὶ τὴν δειρήν σου φιλῆσαι, καὶ τοῖς μαστοῖς ἐπελθεῖν, καὶ ἀνδρίσασθαι ἂν ἀφῇς· καὶ, οἶδα, ἀκούσεται (⁵). Ὦ μακάρια, οἵαν γυναῖκα περιβάλλειν μέλλετε (⁶)! ἀλλὰ δεήθητε αὐτῆς ὑπὲρ ἐμοῦ, καὶ πρεσβεύσατε καὶ πείσατε· ἐὰν δὲ παρακούῃ (⁷), κατακαύσατε.

κθ'. ΜΕΙΡΑΚΙΩι.

Τὰ ῥόδα, ὥσπερ πτεροῖς τοῖς φύλλοις ἐποχούμενα, ἐλθεῖν παρὰ σὲ σπουδὴν ἐποιήσατο (¹). Ὑπόδεξαι αὐτὰ εὐμενῶς, ἢ ὡς Ἀδώνιδος ὑπομνήματα (²), ἢ ὡς Ἀφροδίτης βαφὴν (³), ἢ ὡς γῆς ὄμματα (⁴). Ἀθλητῇ μὲν οὖν κότινος (⁵) πρέπει, καὶ βασιλεῖ μεγάλῳ ὀρθὴ ἡ τιάρα (⁶), καὶ στρατιώτῃ λόφος· καλῷ δὲ μειρακίῳ ῥόδα (⁷), καὶ διὰ συγγένειαν τῆς εὐωδίας καὶ διὰ τὸ οἰκεῖον τῆς χροιᾶς (⁸). Περιθήσῃ δὲ οὐ σὺ τὰ ῥόδα, ἀλλ' αὐτά σε (⁹).

λ'. ΓΥΝΑΙΚΙ (¹).

Πέπομφά σοι στέφανον ῥόδων, οὐ σὲ τιμῶν (καὶ τοῦτο μὲν γάρ), ἀλλ' αὐτοῖς τι χαριζόμενος τοῖς ῥόδοις (²), ἵνα μὴ μαρανθῇ.

λα'. ΜΕΙΡΑΚΙΩι.

Εὖ πεποίηκας καὶ στρωμνῇ χρησάμενος (¹) τοῖς ῥόδοις· ἡ γὰρ πρὸς τὰ πεμφθέντα ἡδονὴ

σημεῖον μέγα τῆς πρὸς τὸν πέμψαντα τιμῆς· ὥςτε κἀγὼ σοῦ δι' αὐτῶν ἡψάμην (²)· καὶ γάρ ἐστιν ἐρωτικὰ καὶ πανοῦργα, καὶ κάλλει χρῆσθαι εἰδότα (³). Δέδοικα δὲ μὴ οὐδ' ἡσυχίαν ἤγαγεν, ἀλλ' ἠνώχλει (⁴) σοι καθεύδοντι, ὥςπερ τῇ Δανάῃ ὁ χρυσός. Εἰ δὲ βούλει τὶ φίλῳ χαρίζεσθαι, τὰ λείψανα αὐτῶν ἀντίπεμψον, μηκέτι πνέοντα ῥόδων μόνον, ἀλλὰ καὶ σοῦ.

λβ'. ΓΥΝΑΙΚΙ (¹).

Καὶ τῷ Διὶ, ὅτε ἐκοιμᾶτο ἐν τῇ Ἴδῃ τῷ ὄρει, ἄνθη ἀνῆκεν ἡ γῆ, λωτόν τε καὶ ὑάκινθον καὶ κρόκον (²)· ῥόδα δὲ οὐ παρῆν (³), πότερα (⁴) ὡς μόνης Ἀφροδίτης κτήματα (⁵), παρ' ἧς καὶ ταῦτα ἔδει τὴν Ἥραν δανείσασθαι, καθάπερ καὶ τὸν κεστὸν ἐδανείσατο (⁶), ἢ ὡς οὐκ ἂν κοιμηθέντος τοῦ Διὸς εἰ καὶ ταῦτα παρῆν· οἱ δὲ ἐδέοντο καθεύδειν τὸν Δία (⁷)· ὅταν δὲ πνέῃ ῥόδα, ἀνάγκη πᾶσα δήπου καὶ ἀνθρώποις καὶ θεοῖς ἀγρυπνεῖν ἡδέως· ἡ γὰρ εὐωδία δεινὴ πᾶσαν ἡσυχίαν ἐξοικίσαι. Ταῦτα μὲν οὖν ἀφείσθω Ὁμήρῳ καὶ τῇ τῶν ποιητῶν ἐξουσίᾳ· σὺ δὲ ἀγροίκως ἐποίησας μόνη κοιμηθεῖσα ἐν ῥόδοις, καὶ σωφρονήσασα ἐν οὐ σώφροσιν (⁸)· ἢ γὰρ τῶν ἐραστῶν ἐχρῆν σοι συμπαρεῖναί τινα, ἢ ἐμὲ, ἢ τὸν Δία· πλὴν εἰ μὴ ἐνεθυμήθης, ὦ καλὴ, τὸν στέφανον τοῖς στέρνοις προσαγαγοῦσα, καινῷ (⁹) μοιχῷ συμπλακῆναι.

λγ'. ΜΕΙΡΑΚΙΩι (1).

Τί παθόντα τὰ ῥόδα, πρὶν μὲν παρὰ σοὶ γενέσθαι, καλὰ ἦν καὶ ῥόδα (οὐ γὰρ ἂν αὐτὰ οὐδὲ ἔπεμψα, εἰ μή τι ἀξιόκτητον εἶχεν), ἐλθόντα δὲ, εὐθὺς ἐμαράνθη καὶ ἀπέπνευσε; τὸ μὲν σαφὲς οὐκ οἶδα τῆς αἰτίας· οὐ γάρ μοί τι εἰπεῖν ἠθέλησεν· ὡς δ' εἰκάσαι ῥᾴδιον, οὐκ ἤνεγκε παρευδοκιμούμενα, οὐδὲ ἠνέσχετο (2) τῆς πρὸς σὲ ἁμίλλης, ἀλλ' ὁμοῦ τε ἔθιγεν εὐωδεστέρου χρωτὸς (3) καὶ ἀπώλετο. Οὕτω καὶ λύχνος πίπτει πυρὸς ἡττηθεὶς μείζονος, καὶ ἄστρα ἀμαυρὰ (4), ὅταν ἀντιβλέπειν ἡλίῳ μὴ δύνηται.

λδ'. ΓΥΝΑΙΚΙ.

Ὄντως τὰ ῥόδα Ἔρωτος φυτά· καὶ γὰρ νέα ὡς ἐκεῖνος, καὶ ὑγρὰ (1) ὡς αὐτὸς ὁ Ἔρως, καὶ χρυσοκομοῦσιν ἄμφω. Καὶ τἄλλ' αὐτοῖς ὅμοια· τὰ ῥόδα τὴν ἄκανθαν ἀντὶ βελῶν ἔχει, τὸ πυῤῥὸν ἀντὶ δᾴδων· τοῖς φύλλοις ἐπτέρωται. Χρόνον δὲ οὔτε Ἔρως, οὔτε ῥόδα οἶδεν (2)· ἐχθρὸς γὰρ ὁ θεὸς (3) καὶ τῇ κάλλους ὀπώρᾳ, καὶ τῇ ῥόδων ἐπιδημίᾳ. Εἶδον ἐν Ῥώμῃ τοὺς ἀνθοφόρους τρέχοντας (4), καὶ τῷ τάχει μαρτυρουμένους τὸ ἄπιστον τῆς ἀκμῆς (5)· ὁ γὰρ δρόμος διδασκαλία χρήσεως. Εἰ μὲν οὖν ἅψῃ ταχέως τῶν ῥόδων, μένει· εἰ δὲ μελλήσαις, ἀπελήλυθε. Μαραίνεται καὶ γυνὴ (6) μετὰ ῥόδων, ἂν βραδύνῃ· μὴ μέλλε, ὦ καλή· συμπαίξωμεν (7), στεφανωσώμεθα τοῖς ῥόδοις, συνδράμωμεν.

λε'. ΜΕΙΡΑΚΙΩι (1).

Ἔστιν ἔαρ καὶ κάλλους καὶ ῥόδου (2)· ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος, ἐν οὐ μένουσι μέλλων καὶ βραδύνων ἐν ἀπιοῦσι (3)· φθονερὸς γὰρ ὁ χρόνος, καὶ τὴν ἄνθους ὥραν ἀφανίζει, καὶ τὴν κάλλους ἀκμὴν ἀπάγει. Μηδὲν μέλλε, ὦ φθεγγόμενον ῥόδον (4), ἀλλ', ἕως ἔξεστι (5) καὶ ζῇς, μετάδος ἡμῖν ὧν ἔχεις.

λϛ'. ΓΥΝΑΙΚΙ.

Ἐπυθόμην ὡς τὰ ῥόδα ἐλθόντα παρὰ σὲ, ὅσα χρέος (1) ἀπέλαβεν (ἐγώ τε γὰρ ἐνετειλάμην αὐτοῖς), καὶ ὡς ἐκπιόντα ἀκηράτου χρωτὸς τῆς σῆς δρόσου, κατέσχον τὴν ψυχὴν ἐξιοῦσαν καὶ δυσανασχετοῦσαν. Καλῶς ἐποιήσατε, ὦ ῥόδα, ἀναβιώσαντα (2), καὶ, δέομαι, μείνατε ἔστ' ἂν ἔλθω· μαθεῖν γὰρ ἔγνωκα εἴ τι παρ' ἀλλήλων εἰλήφατε, εἰς εὐωδίαν αὐτὴ, καὶ ὑμεῖς εἰς χρόνον (3).

λζ'. ΜΕΙΡΑΚΙΩι.

Αἰτιᾷ (1) με, ὅτι σοι ῥόδα οὐκ ἔπεμψα. Ἐγὼ δὲ οὔτε ὡς ὀλίγωρος τοῦτο ἐποίησα, οὔτε ὡς ἀνέραστος ἄνθρωπος· ἀλλ' ἐσκόπουν ὅτι, ξανθὸς ὢν καὶ ῥόδοις ἰδίοις στεφανούμενος (2), ἀλλοτρίων ἀνθέων (3) οὐ δέῃ· οὐδὲ γὰρ Ὅμηρος τῷ ξανθῷ Μελεάγρῳ (4) στέφανον περιέθηκεν (ἐπεὶ τοῦτο ἂν ἦν ἄλλο πῦρ ἐπὶ πυρὶ (5) καὶ δαλὸς ἐπ' ἐκείνῳ διπλοῦς), ἀλλ' οὐδὲ τῷ Ἀχιλλεῖ, οὐδὲ τῷ Μενελάῳ, οὐδὲ ὅσοι ἄλλοι (6) παρ' αὐτῷ

κομῶσι· φθονερὸν γὰρ δεινῶς ἄνθος καὶ ὠκύμορον καὶ παύσασθαι ταχύ (7). Λέγεται δὲ αὐτῷ καὶ τὴν πρώτην γένεσιν ἐκ λυπηροτάτης ἄρξασθαι προφάσεως (8)· ἡ γὰρ ἄκανθα τῶν ῥόδων παριοῦσαν τὴν Ἀφροδίτην ἔκνισεν (9), ὡς Κύπριοι λέγουσι καὶ Φοίνικες. Αἵματος μὴ στεφανώμεθα· φεύγωμεν ἄνθος, ὃ μηδὲ Ἀφροδίτης φείδεται (10).

λη'. ΓΥΝΑΙΚΙ (1).

Οὖσα δὲ ξανθὴ, τί ῥόδα ζητεῖς (2); καὶ μὴν φύσεως οὕτως ἔχεις ὡς ἐκεῖνα. Τί οὖν λαμβάνη ἄνθους μετὰ μικρὸν οὐκ ὄντος (3); τί δὲ τὴν κεφαλὴν στεφανοῖς πυρί (4); ἐμοὶ γὰρ δοκεῖ (5), καὶ τῆς Κολχίδος ὁ ὅρμος, ὃν ἔπεμψε τῇ Γλαύκῃ (6), ῥόδα ἦν πεφαρμαγμένα· καὶ διὰ τοῦτο ἐκαύθη λαβοῦσα. Εἴτε γὰρ τερπνὰ τὰ ῥόδα, μὴ παρευδοκιμείτω τὰς καλάς· εἴτε εὐώδη, μὴ ἀντιπνείτω· εἴτε ὠκύμορα, μὴ φοβείτω (7). Ἐμοὶ μὲν οὐδενὶ ἄλλῳ δοκεῖ προσεοικέναι φύλλα ῥόδων λυθέντων ἢ πίπτουσιν· οἱ πολλοί γε τῶν σφόδρα ἐρωτικῶν αὐτοῖς μᾶλλον ἄχθονται λυθεῖσιν, ἢ χαίρουσιν ἐπιτετειχισμένοις, ἐπεὶ τὴν παρουσίαν τῆς ἡδονῆς αὐτῶν ὁ μέλλων φόβος νικᾷ (8)· ἡ δὲ σὴ κεφαλὴ λειμὼν πολλὰ ἄνθη φέρων ἐστὶν, ἃ μήτε θέρους ἄπεισι, καὶ χειμῶνος μέσου φαίνεται (9), καὶ δρεψαμένων οὐ λύεται. Εἰ γὰρ ἐπιτρέψαις μοι κἂν ἕνα βόστρυχον ἐκτεμεῖν! εἰ γὰρ

ἀπέλθοιμι οὕτω πνέων! Ἔσῃ χαριζομένη ῥόδα μαρανθῆναι μὴ δυνάμενα.

λθ'. ΜΕΙΡΑΚΙΩι.

Ὡς δύσερί σοι καὶ φιλόνεικον (1) τὸ κάλλος! Ἀμελούμενον μᾶλλον ἀνθεῖ, καθάπερ τῶν φυτῶν ὅσα τῇ φύσει θαῤῥοῦντα καὶ τῆς τῶν γεωργῶν ἐπιμελείας μὴ χρῄζοντα (2). Οὐχ ἵππον ἀναβαίνεις, οὐκ εἰς παλαίστραν ἀπαντᾷς, οὐχ ἡλίῳ δίδως σεαυτόν (3)· ἄνθος γὰρ καὶ βαφὴ τοῖς καλοῖς· ἀλλ' αὐχμηρὸς περίει καὶ ῥυπῶν καὶ σεαυτῷ μαχόμενος. Ἐξηπάτησαι. Καλὸς εἶ, κἂν μὴ θέλῃς, καὶ πάντας ἕλκεις τῷ λίαν ἀμελουμένῳ, ὥσπερ οἱ βότρυς καὶ τὰ μῆλα (4), καὶ εἴ τι ἄλλο αὐτόματον καλόν. Ὁ μὲν γὰρ καλλωπισμὸς (5) ἑταιρικὸν, καὶ πάνυ δεῖ δυσχεραίνειν τὴν φαρμασσομένην εὐμορφίαν, ὡς πανουργίας ἐγγύς· τὸ δὲ ἀκέραιον καὶ ἄκακον καὶ ἀνεπιβούλευτον (6) μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων τὸ κάλλος. Οὕτω καὶ ὁ Ἀπόλλων ποιμένων ἦρα, καὶ ἡ Ἀφροδίτη βουκόλων, καὶ ἡ Ῥέα ἀγροίκων, καὶ ἡ Δημήτηρ (7) τῶν τὰ ἄστη οὐκ εἰδότων (8), ὅτι πᾶν ἀληθέστερον τοῦ δεδολωμένου τὸ φύσει παρόν. Οὐδεὶς οὐδὲ ἀστέρας εἶδε κοσμουμένους, οὐδὲ λέοντας, οὐδὲ ὄρνιθας· ὁ δ' ἵππους καλλωπίζων χρυσῷ ἢ ἐλέφαντι ἢ ταινίαις λανθάνει λυμαινόμενος τοῦ ζώου τὸ γαῦρον καὶ τέχνῃ παραδιδοὺς τὸ ἄσχημα ἐπανορθοῦσθαι τῆς φύσεως τὰ λείποντα (9).

μ'. ΓΥΝΑΙΚΙ.

Ἡ καλλωπιζομένη γυνὴ θεραπεύει τὸ ἐλλιπὲς, φοβουμένη φωραθῆναι ὃ οὐκ ἔχει ἡ φύσις· ἡ δὲ καλὴ οὐδενὸς δεῖται τῶν ἐπικτήτων, ὡς προσαρκοῦσα ἑαυτῇ πρὸς πᾶν τὸ ὁλόκληρον (1). Ὀφθαλμῶν δὲ ὑπογραφαὶ καὶ κομῶν προσθέσεις, καὶ ζωγραφίαι παρειῶν (2) καὶ χειλέων βαφαὶ, καὶ εἴ τι ἐκ κομμωτικῆς φάρμακον, καὶ εἴ τι ἐκ φυκίου δολερὸν ἄνθος, ἐπανόρθωσις (3) τοῦ ἐνδεοῦς εὑρέθη· τὸ δὲ ἀκόσμητον, ἀληθῶς καλόν. Ὥςτε εἰ μάλιστα πεπίστευκας σεαυτῇ καὶ τεθάῤῥηκας (4), διὰ τοῦτό σε μάλιστα ἀγαπῶ, μαρτύριον τὸ ἄπραγμον ἡγούμενος τῆς ἐν εὐμορφίᾳ πίστεως· οὐ γὰρ κονιᾶς τὸ πρόσωπον (5), οὐδὲ ἐν ταῖς κηρίναις τέταξαι γυναιξὶν, ἀλλ᾽ ἐν ταῖς ἀδόλως καλαῖς, οἷα καὶ αἱ πρότεραι ἦσαν, ὧν χρυσὸς ἤρα καὶ βοῦς καὶ ὕδωρ καὶ ὄρνιθες καὶ δράκοντες (6). Τὸ δὲ φυκίον καὶ ὁ κηρὸς (7) καὶ τὸ ταραντινίδιον (8), καὶ οἱ ἐπικάρπιοι ὄφεις (9), καὶ αἱ χρυσαῖ πέδαι, Θαΐδος καὶ Ἀρισταγόρας καὶ Λαΐδος (10) φάρμακα.

μα'. ΜΕΙΡΑΚΙΩι (1).

Πόθεν εἶ, μειράκιον, εἰπὲ, ὅτι οὕτως ἀτέγκτως πρὸς ἔρωτα ἔχεις (2). Ἐκ Σπάρτης ἐρεῖς; Οὐκ εἶδες οὖν τὸν Ὑάκινθον (3), οὐδὲ ἐστεφανώσω τοῦ τραύματος (4); Ἀλλ᾽ ἐκ Θετταλίας; Οὐκ ἐδίδαξεν οὖν σε ὁ Φθιώτης Ἀχιλλεύς (5); Ἀλλ᾽

Ἀθήνηθεν; τὸν Ἁρμόδιον οὖν καὶ τὸν Ἀριστογείτονα οὐ παρῆλθες. Ἀλλ' ἀπ' Ἰωνίας (6); καὶ τί τῆς γῆς ἐκείνης ἁβρότερον, ὅπου Βράγχοι (7) καὶ Κλάροι οἱ Ἀπόλλωνος καλοί (8); Ἀλλ' ἐκ Κρήτης; ὅπου πλεῖστος Ἔρως, ὁ τὰς ἑκατὸν πόλεις περιπολῶν (9). Σκύθης μοι δοκεῖς καὶ βάρβαρος εἶναι (10), ἀπ' ἐκείνου τοῦ βωμοῦ καὶ τῶν ἀξένων θυμάτων (11). Ἔξεστιν οὖν σοι τὸν πάτριον τιμῆσαι νόμον. Εἰ δὲ σώζειν οὐ θέλεις, λάβε τὸ ξίφος· οὐ παραιτοῦμαι, μὴ φοβηθῇς· ἐπιθυμῶ κἂν τραύματος (12).

μβ'. ΓΥΝΑΙΚΙ (1).

Εἰ Λάκαινα ἦσθα, ὦ καλή, τῆς Ἑλένης ἂν ἐμνημόνευσας καὶ τῆς νεώς (2)· εἰ Κορινθία, τῶν Λαΐδος κώμων· εἰ Βοιωτία, τῶν Ἀλκμήνης γάμων. Εἰ τῶν ἐξ Ἤλιδος, οὐκ ἤκουσας τὸν Πέλοπος δρόμον; οὐκ ἐζήλωσας τὴν ἐκ θεάτρου γαμηθεῖσαν (3); οὐκ ἐθαύμασας τὸν Ἀλφειόν (4); οὐκ ἔπιες τοῦ νυμφίου (5); Ἡ δὲ Τυρὼ τῷ Ἐνιπεῖ ἐπενήξατο, καὶ ἀγρεύοντι ἐπὶ θάλατταν συνήγαγεν (6)· ἦν γὰρ ἀγαθὴ καὶ μεγάλων (7) ἐραστῶν ἀξία. Δοκεῖς δέ μοι μηδὲ Θεσπιακή τις εἶναι (πάντως γὰρ ἂν τῷ Ἔρωτι (8) ἔθυες), μηδὲ Ἀττική· τὰς γὰρ παννυχίδας καὶ τὰς ἑορτὰς καὶ τὰ Μενάνδρου δράματα (9) οὐκ ἄν ποτε ἠγνόησας. Ἀλλ' εἰ καὶ βάρβαρος, εἰ καὶ μία τῶν ἀπὸ Θερμώδοντος παρθένων, ἀλλ' οὖν καὶ ταύτας


BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA

λόγος νεανίσκοις συμπλέκεσθαι καὶ τίκτειν ἐκ κλοπῆς (10). Ἀλλὰ μὴ Θρᾶττα καὶ Σιδωνία· καὶ μὴν καὶ τούτων ἔρως ἥψατο· καὶ ἡ μὲν τῷ Νίνῳ συνεπλάκη (11), ἡ δὲ τῷ Βοιωτῷ (12). Ἔοικα εὑρηκέναι σε, εἰ μὴ κακός εἰμι καὶ φαῦλος φυσιογνωμονεῖν· Δαναός σοι πατὴρ, καὶ χεὶρ ἐκείνη καὶ λῆμα φονικόν (13)· ἀλλὰ κἀκείνων τις τῶν ἀνδροφόνων παρθένων (14) νεανίσκου φιλοῦντος ἐφείσατο. Οὐχ ἱκετεύω σε, οὐ δακρύω· πλήρωσον τὸ δρᾶμα, ἵνα μου ψαύσῃς (15) κἂν ξίφει.

μγ'. ΓΥΝΑΙΚΙ (1).

Εἰ σωφρονεῖς, διὰ τί ἐμοὶ μόνῳ; εἰ δὲ χαρίζῃ, διὰ τί μὴ κἀμοί;

μδ'. ΜΕΙΡΑΚΙΩι.

Ὅτι πένης εἰμὶ ἀτιμότερός σοι δοκῶ· καὶ μὴν καὶ αὐτὸς ὁ Ἔρως γυμνός ἐστι (1), καὶ αἱ Χάριτες, καὶ οἱ ἀστέρες. Ὁρῶ δὲ ἐγὼ καὶ τὸν Ἡρακλέα ἐν ταῖς γραφαῖς δορὰν θηρίου περιβεβλημένον καὶ τὰ πολλὰ χαμαὶ καθεύδοντα· τὸν δὲ Ἀπόλλωνα καὶ ὑψηλῷ ζώματι ἢ δισκεύοντα ἢ τρέχοντα ἢ τοξεύοντα (2). Οἱ δὲ Περσῶν βασιλεῖς τρυφῶσι, καὶ μετέωροι κάθηνται, τῷ πολλῷ χρυσίῳ προβαλλόμενοι τὸ σεμνόν (3)· τοιγαροῦν ἔπασχον κακῶς ὑπὸ τῶν πενήτων Ἑλλήνων νικώμενοι. Ἦν πτωχὸς ὁ Σωκράτης, ἀλλ' ὑπέτρεχεν αὐτοῦ τὸν τρίβωνα ὁ πλούσιος Ἀλκιβιάδης (4)· πενία γὰρ οὐκ ἔστιν ἔγκλημα· οὔτε τὴν ἑκάστου αἰτίαν

ἡ τύχη ἀπολύεται τῇ πρὸς ἀλλήλους κοινωνίᾳ (5). Ἄπιδε πρὸς τὸ θέατρον· πενήτων ὁ δῆμος. Ἄπιδε πρὸς τὰ δικαστήρια· πένητες κάθηνται. Ἄπιδε ἐπὶ τὰς μάχας· οἱ μὲν πολυτελεῖς καὶ χρυσοῖ τοῖς ὅπλοις λείπουσι τὰς τάξεις, ἡμεῖς δὲ ἀριστεύομεν. Ἐν αὐτοῖς τε τοῖς πρὸς τοὺς καλοὺς ὑμᾶς σκέψαι πόσον τὸ μεθόριον (6)· ὑβρίζει τὸν πεισθέντα ὁ πλούσιος ὡς ἐωνημένος (7), πένης οἶδε χάριν ὡς ἐλεούμενος· ἐκεῖνος σεμνύνεται τῷ θηράματι, ὁ πένης σιωπᾷ· πάλιν ὁ λαμπρὸς τὸ πεπραγμένον εἰς ἐξουσίαν ἀναφέρει τῆς οἰκείας δυνάμεως, ὁ πένης (8) εἰς τὴν τοῦ δόντος φιλανθρωπίαν· ὁ πλούσιος ἄγγελον πέμπει κόλακα, καὶ παράσιτον, καὶ μάγειρον, καὶ τοὺς ἐκ τῆς τραπέζης, ὁ πένης ἑαυτὸν, ὡς μηδὲ (9) ἐν τούτῳ τὴν τιμὴν ἀπεῖναι τῆς αὐτουργίας (10)· ὁ πλούσιος δοὺς εὐθέως ἐλέγχεται· τὸ γὰρ πρᾶγμα κατάφωρον γίνεται τῷ πλήθει τῶν συνεγνωκότων, ὡς μηδὲ τοὺς γείτονας μηδὲ τοὺς παριόντας τῶν ὁδοιπόρων (11) ἀγνοῆσαι τὸ δρᾶμα· ὁ πένητι χρησάμενος φίλῳ λανθάνει· οὔτε γὰρ ὄγκος τῇ δεήσει πρόσεστι· καὶ τὴν τῶν ἔξωθεν καταβόησιν ἐκτρεπόμενος, καὶ τὸ τῶν δυνατωτέρων αὐτοῦ γενέσθαι τινὰς ἀντεραστὰς, ὡς ὄντος ῥάστου τοῦ πράγματος, οὐχ ὁμολογεῖ τὴν εὐτυχίαν, ἀλλ' ἀποκρύπτεται. Καὶ τί δεῖ τὰ πολλὰ (12) λέγειν; Ὁ πλούσιος καλεῖ σε ἐρώμενον, ἐγὼ δὲ κύριον, ἐκεῖνος ὑπηρέτην, ἐγὼ δὲ θεὸν, ἐκεῖνος μέρος τῶν

αὐτοῦ κτημάτων, ἐγὼ δὲ πάντα (13). Ὅθεν ἄλλου πάλιν ἐρασθεὶς ὅμοιος πρὸς ἐκεῖνον ἔσται· πένης δὲ ἅπαξ ἐρᾷ (14). Τίς δύναται παραμεῖναι νοσοῦντι (15); τίς συναγρυπνῆσαι; τίς συνεξελθεῖν εἰς τὸ στρατόπεδον; τίς αὐτὸν προτάξαι, πεμπομένου βέλους; τίς ὑπὲρ σοῦ πεσεῖν; Ἐν τούτοις πᾶσι πλουτῶ.

με΄. ΓΥΝΑΙΚΙ (1).

Εἰ μὲν οὖν δέῃ χρημάτων (2), πένης εἰμί· εἰ δὲ φιλίας καὶ χρηστοῦ τρόπου, πλουτῶ (3). Ἔστι δὲ οὐχ οὕτως ἐμοὶ δεινὸν τὸ μὴ ἔχειν (4), ὡς σοὶ πρὸς αἰσχύνης (5) τὸ μισθοῦ φιλεῖν. Ἑταίρας μὲν γὰρ ἔργον προσίεσθαι τοὺς τὰς σαρίσσας ἔχοντας καὶ τὰς σπάθας (6) ὡς ἑτοίμως διδόντας, γυναικὸς δὲ ἐλευθέρας πρὸς τὸ βέλτιον ἀεὶ βλέπειν καὶ τὸν χρηστὸν ἐν εὐνοίᾳ τίθεσθαι. Πρόσταξον ὡς βούλει, καὶ πείθομαι· πλεῖν κέλευσον, ἐμβαίνω (7)· πληγὰς ὑπομεῖναι, καρτερῶ· ῥίψαι τὴν ψυχὴν, οὐκ ὀκνῶ· δραμεῖν διὰ πυρὸς, οὐκ ἀναίνομαι (8). Τίς ταῦτα πλούσιος ποιεῖ;

μς΄. ΜΕΙΡΑΚΙΩι.

Εἰ ξένος ὢν ἐρῶ σοῦ, μὴ θαυμάσῃς· οὐκ ἔστιν ὀφθαλμοὺς ξενίας ἁλῶναι (1)· καὶ γὰρ κάλλος αὐτῶν ὁμοίως καὶ πῦρ ἅπτεται. Καὶ δεῖ τὸ μὲν λάμψαι, τὸ δὲ εὐθὺς αἴθεσθαι (2). Διακρίσεως δὲ οὐ δεῖ οὔτε ὠσὶν, οὔτε ὄμμασιν· ἀλλ'

εἰσὶ καὶ ξένοις καὶ πολίταις οἱ τῆς ψυχῆς ἄγγελοι. Οὐ μὴν ὁ Βράγχος ἔφευγε τὸν Ἀπόλλωνα ὡς ξένον, οὐδὲ ὁ Ὕλας τὸν Ἡρακλέα, οὐδὲ ὁ Λικύμνιος τὸν Ῥαδάμανθυν (3), οὐδὲ ὁ Πάτροκλος τὸν Ἀχιλλέα, οὐδὲ ὁ Χρύσιππος τὸν Λάϊον (4). Ἥρα καὶ Σμερδίου Πολυκράτης (5) ὁ Σάμιος, καὶ τοῦ Πέρσου μειρακίου ὁ Ἀγησίλαος· οὐκ οἶδα τοῦ μειρακίου τὸ ὄνομα (6). Ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς, καὶ οἱ ποταμοὶ τῆς θαλάσσης, καὶ ὁ Ἀσκληπιὸς Ἀθηναίων, καὶ ὁ Ζεὺς ἡμῶν, ὁ Νεῖλος Αἰγυπτίων, καὶ ὁ ἥλιος πάντων· ξένη καὶ ἡ ψυχὴ τοῦ σώματος, καὶ ἡ ἀηδὼν τοῦ ἔαρος, καὶ ἡ χελιδὼν τῆς οἰκίας, καὶ ὁ Γανυμήδης (7) τοῦ οὐρανοῦ, καὶ ἡ ἀλκυὼν τῆς πέτρας, καὶ ὁ ἐλέφας Ῥωμαίων, καὶ ὁ ὄρνις ὁ φοίνιξ τῶν Ἰνδῶν τῶν μυρεψικῶν (8)· οὗτος μὲν ὁ ξένος καὶ βραδύς· τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι καὶ προσκυνοῦσι (9). Ξένα καὶ τὰ γράμματα (ἐκ Φοινίκης γὰρ ἦλθε), καὶ Σηρῶν ὑφαὶ (10), καὶ μάγων θεολογία· οἷς πᾶσιν ἥδιον χρώμεθα ἢ τοῖς ἐγχωρίοις, ὅτι τῶν μὲν σπάνιον τὸ ἐπίκτητον, τῶν δὲ ὀλίγωρον τὸ οἰκεῖον (11). Ἀμείνων καὶ ἐραστὴς (12) ὁ ξένος, ὅσῳ καὶ ἀνύποπτος τῇ ἀγνωσίᾳ, καὶ πρὸς τὸ λαθεῖν ἀφανέστερος. εἰ δὲ δέῃ καὶ μένοντος, ἔγγραψόν με σὺ (13), καὶ Ζεὺς γενοῦ φράτριος (14), καὶ Ἀπόλλων πατρῷος· ἡ δὲ φυλὴ, τοῦ Ἔρωτος (15).

μζ'. ΓΥΝΑΙΚΙ (1).

Τὴν καλὴν ἀπὸ τοῦ τρόπου δεῖ τῶν ἐραστῶν ποιεῖσθαι τὸν κατάλογον, οὐκ ἀπὸ τοῦ γένους· καὶ γὰρ ξένος ἐπιεικὴς δύναται γενέσθαι, καὶ πολίτης κακὸς (2), ὅσῳ καὶ τοῦ φρονεῖν ἐγγύτερός ἐστιν. Ὁ μὲν οὖν ἐγχώριος οὐδὲν διαφέρει λίθων, καὶ παντὸς τοῦ μένοντος, ᾧ (3) τὸ ἑδραῖον ἀνάγκῃ πρόςεστιν· ὁ δὲ ξένος ἔοικε τοῖς ὀξυτάτοις θεοῖς, Ἡλίῳ καὶ Ἀνέμῳ (4), καὶ Ἄστροις, καὶ Ἔρωτι· ὑφ᾽ ὧν κἀγὼ πτηνὸς γενόμενος, δεῦρο ἐλήλυθα, κινηθεὶς προφάσει κρείττονι. Μή μου τὴν ἱκεσίαν ὑπερίδῃς, οὐδὲ γὰρ τὸν Πέλοπα ἡ Ἱπποδάμεια ἠτίμησε ξένον ὄντα καὶ βάρβαρον, οὐδὲ ἡ Ἑλένη τὸν δι᾽ αὐτὴν παρόντα, οὐδὲ ἡ Φύλλις (5) τὸν ἐκ τῆς θαλάττης, οὐδὲ ἡ Ἀνδρομέδα τὸν πρὸς αὐτὴν καταπτάντα (6)· ᾔδεσαν γὰρ ὡς παρὰ μὲν τῶν ἐγχωρίων μίαν πόλιν λαμβάνουσι (7), παρὰ δὲ τῶν ξένων πολλάς. Εἰ (8) δὲ δοκεῖ, φέρε ἐπὶ συνθήκαις γενέσθω τὸ πρᾶγμα· ἢ ἐνταῦθα ἀμφότεροι μένωμεν, ἢ μετὰ ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν. Οὐ δέχῃ τοῦτο; Γνῶθι οὖν ὡς γενέσθαι μὲν ἰχθὺς ξένος οὐκ ἀνέχεται, χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. Τί γὰρ ἄλλο αἱ πατρίδες ἢ μέτρα δειλὰ ἀγεννῶν (9) νομοθετῶν, ὅροις καὶ πύλαις διαγραφόντων τὰ οἰκεῖα, ἵνα ταῖς εὐνοίαις στενοχωρώμεθα, ὑπερβαίνειν ὀκνοῦντες τὸ πινάκιον τῆς χωροφιλίας. Καὶ μὴν κἀγὼ τοῦ ἔρωτος ξένος, καὶ σὺ τοῦ

κάλλους· οὐ γὰρ ἡμεῖς πρὸς αὐτὰ ἀπήλθομεν, ἀλλ' αὐτὰ πρὸς ἡμᾶς κατῆλθε· καὶ τὴν παρουσίαν αὐτῶν δεδέγμεθα ἡδέως, ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες. Εἰ δ' ἐμοὶ τὸ ξένῳ εἶναι μὴ γίγνεται πρὸς τὸν ἔρωτα ἐμποδὼν, μηδὲ σοὶ κώλυμα ἔστω τὸ συνιέναι τῶν ἐρώντων (10)· ταχὺ γ' ἂν φυγάδα εἵλου νυμφίον, ὥσπερ Ἄδραστος τὸν Πολυνείκην καὶ τὸν Τυδέα, οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας τὴν ἔκτισιν (11). Εἴ τις ἀποκλείει καὶ ξένον πυρὸς ἐναῦσαι θέλοντα, ἀλλὰ τὸ καόμενον σβέσαι (12). Μὴ λακώνιζε, ὦ γύναι, μηδὲ μιμοῦ τὸν Λυκοῦργον· ξενηλασίαν γὰρ ἔρως οὐκ ἔχει (13).

μη'. ΜΕΙΡΑΚΙΩι (1).

Ποσάκις σοι τοὺς ὀφθαλμοὺς ἀνέῳξα, ἵνα ἀπέλθῃς (2), ὥσπερ οἱ τὰ δίκτυα ἀναπτύσσοντες τοῖς θηρίοις εἰς ἐξουσίαν τοῦ φυγεῖν; καὶ σὺ μένεις ἑδραῖος, κατὰ τοὺς δεινοὺς ἐποίκους (3), οἳ, χώραν ἅπαξ ἀλλοτρίαν καταλαβόντες, οὐκ ἔτι δέχονται τὴν ἀπανάστασιν. Καὶ δὴ πάλιν, ὥσπερ εἴωθα, ἐπαίρω τὰ βλέφαρα· ἀπόπτηθι ἤδη ποτὲ, καὶ τὴν πολιορκίαν λῦσον, καὶ γενοῦ ξένος ἄλλων ὀμμάτων. Οὐκ ἀκούεις, ὅς γε καὶ μᾶλλον ἔχῃ τοῦ πρόσω, καὶ μέχρι τῆς ψυχῆς (4). Καὶ τίς ὁ καινὸς ἐμπρησμός; Κινδυνεύω, αἰτῶ ὕδωρ (5)· κομίζει δὲ οὐδεὶς, ὅτι τὸ σβεστήριον εἰς ταύτην τὴν φλόγα ἀπορώτατον, εἴτε ἐκ πηγῆς κομίζοι

τις, εἴτε ἐκ ποταμοῦ λαμβάνοι. Καὶ γὰρ αὐτὸ ὑπὸ τοῦ ἔρωτος τὸ ὕδωρ κάεται (6).

μθ'. ΓΥΝΑΙΚΙ (1).

Τί τὸ καινὸν ἀνδρολήψιον τοῦτο (2); *τίς ἡ τυραννίς; Ἕλκεις με ἀπὸ τῶν ὀμμάτων καὶ σύρεις μὴ θέλοντα* (3), *ὥσπερ τοὺς πλέοντας ἡ Χάρυβδις ἀνεῤῥόφα* (4). *Ἦσαν ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν πνεύματα, οἷς τις ἅπαξ ἐνσχεθεὶς καταδύεται. Τοῦτο μὲν οὖν οὐκ εἶχεν οὐδ' ἡ Χάρυβδις· ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον; καὶ μικρόν τις ἀναμείνας σωτηρίας εὐπορεῖ, δένδρον εὑρὼν* (5) *ἐν πελάγει μέσῳ· ὁ δὲ εἰς ταύτην ἅπαξ τὴν θάλατταν καταδῤυεὶς, οὐκ ἔτ' ἐξέρχεται.*

ν'. ΜΕΙΡΑΚΙΩι (1).

Τοὺς ὄρνιξ αἱ καλιαὶ δέχονται, τοὺς ἰχθύας αἱ πέτραι, τὰ ὄμματα τοὺς καλούς (2). *Κἀκείνων μὲν πλάναι μεθισταμένων καὶ μετοικούντων ἄλλοτε ἐπ' ἄλλους τόπους* (3)· *ἄγουσι γὰρ αὐτοὺς ὡς ἄγουσιν οἱ καιροί* (4)· *κάλλος δὲ ἅπαξ ἐπ' ὀφθαλμοὺς ῥυὲν οὐκ ἔτ' ἄπεισιν ἐκ τούτου τοῦ καταγωγίου. Οὕτω κἀγώ σε ὑπεδεξάμην, καὶ φέρω πανταχοῦ τοῖς τῶν ὀμμάτων δικτύοις* (5). *Κἂν τε ἔμπορός τις ἐλθὼν, ποιμαίνειν μοι δοκῇς, κἂν καθῆσθαι, πείθων τοὺς λίθους· κἄν τε ἐπὶ θάλατταν, ἀνάγει σε ἡ θάλαττα, ὥσπερ τὴν Ἀφροδίτην ὁ μῦθος· ἄν τε ἐπὶ λειμῶνα, αὐτῶν τῶν*

ἀνθέων ἐξέχεις· καί τοι οὐδὲν τοιοῦτον ἐκεῖ φύεται· καὶ γὰρ εἰ καλὰ καὶ χαρίεντα ἄλλως (6), ἀλλὰ μιᾶς ἡμέρας. Καὶ μὴν (7) καὶ ποταμοῦ πλησίον γενόμενος, τὸν μὲν οὐκ οἶδα ὅπως ἠφάνισται (8), σὲ δὲ ῥεῖν ἀντ' ἐκείνου νομίζω καλὸν καὶ μέγα καὶ πολὺ μεῖζον τῆς θαλάττης. Ἀπιδὼν δὲ εἰς οὐρανὸν (9), τὸν μὲν ἥλιον ἡγοῦμαι πεπτωκέναι καὶ κάτω που βαδίζειν, ἀντ' ἐκείνου δέ σε φαίνειν ὃν ἐγὼ βούλομαι (10). Εἰ δὲ καὶ νὺξ γένηται (11), δύο βλέπω μόνους ἀστέρας, τὸν ἕσπερον καὶ σέ.

να'. ΓΥΝΑΙΚΙ (1).

Πόθεν μου τὴν ψυχὴν κατέλαβες; ἢ δῆλον ὅτι (2) ἀπὸ τῶν ὀμμάτων, ἀφ' ὧν μόνων κάλλος εἰσέρχεται. Ὥσπερ γὰρ τὰς ἀκροπόλεις οἱ τύραννοι καὶ τὰ ἐρυμνὰ οἱ βασιλεῖς, καὶ τὰ ὑψηλὰ οἱ ἀετοὶ καταλαμβάνουσιν, οὕτω καὶ ὁ Ἔρως τὴν τῶν ὀφθαλμῶν ἀκρόπολιν, ἣν οὐ ξύλοις οὐδὲ πλίνθοις, ἀλλὰ μόνοις βλεφάροις τειχίσας, ἡσυχῇ καὶ κατὰ μικρὸν εἰς τὴν ψυχὴν εἰσδύεται (3), ταχέως μὲν ὡς πτηνὸς, ἐλευθέρως δὲ ὡς γυμνὸς, ἀμάχως (4) δὲ ὡς τοξότης. Τὰ δὲ ὄμματα, ἐπεὶ πρῶτα συνίησι τοῦ κάλλους, διὰ τοῦτο μάλιστα καὶ κάεται, θεοῦ τινος, οἶμαι, θελήσαντος αὐτοῖς (5) τὴν αὐτὴν ὁδὸν καὶ τῆς εἰς τὸ βλέπειν ἡδονῆς εἶναι, καὶ τῆς εἰς τὸ λυπεῖσθαι προφάσεως. Τί γὰρ, ὦ κακοὶ δᾳδοῦχοι Ἔρωτος, καὶ

τῆς τῶν σωμάτων ὥρας περίεργοι μάρτυρες (6), πρῶτοι μὲν ἡμῖν τὸ κάλλος ἐπυρσεύσατε, πρῶτοι δὲ μνησθῆναι τὴν ψυχὴν ἐδιδάξατε (7) τῆς ἔξωθεν ἐπιῤῥοῆς, πρῶτοι δὲ ἐβιάσασθε τὸν ἥλιον καταλιπόντα (8), πῦρ ἀλλότριον ἐπαινεῖν; τοιγαροῦν ἀγρυπνεῖτε καὶ κάεσθε, ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι (9). Μακαρίων, ὦ θεοὶ, τῶν ἐκ γενετῆς (10) τυφλῶν, ἐφ' οὓς ἔρως ὁδὸν οὐκ ἔχει.

νβ'. ΜΕΙΡΑΚΙΩι.

Ἀπέκλειόν σοι τὰ ὄμματα (1)· πῶς σοι; εἴπω· ὡς οἱ πολιορκούμενοι τὰς πύλας· καὶ σὺ τὴν φρουρὰν λαθὼν, ἔνδον εἶ. Λέγε τίς σε εἰσήγαγεν, εἰ μή τι τὰ ὄμματα. ** Ἦν ἄρα πάθος ἐρωτικὸν (2) καὶ κατὰ τῆς ψυχῆς γενόμενον, ἦγε πάλαι μὲν μόνα ἐνεθυμεῖτο ἃ ἤθελε, καὶ περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλοσοφοῦσα· καὶ ἦν αὐτῆς ὁ ἔρως τὰ οὐρανοῦ νῶτα (3) ὁρᾶν, καὶ περὶ τῆς κατὰ ταῦτα ὄντως οὔσης οὐσίας (4) πολυπραγμονεῖν, καὶ τίνες αἱ τοῦ παντὸς περίοδοι, καὶ τίς ἡ ταῦτα ἄγουσα ἀνάγκη· καὶ τὸ σκέμμα (5) ἐδόκει χαριέστατον ἡλίῳ συνδραμεῖν καὶ σελήνῃ συγκινδυνεῦσαι μὲν ἀπιούσῃ, συνησθῆναι δὲ πληρουμένῃ, τῷ τε ἄλλῳ χορῷ τῶν ἀστέρων συμπλανηθῆναι, καὶ μηδὲν ἄβατον μηδὲ ἀθέατον καταλιπεῖν τῶν ὑπὲρ γῆν (6) μυστηρίων. Ἀφ' οὗ δὲ, ἀνθρωπίνῳ πλησιάσασα ἔρωτι, ἑάλω κάλλους ὄμμασι, πάντων ἀμελήσασα ἐκεί-

νων, περὶ ἓν τοῦτο ἐσπούδακε· καὶ ὅσον ἂν τῆς ἔξω μορφῆς σπάσῃ (⁷), τοσοῦτον ἔνδον συντίθησι, καὶ μνήμῃ ταμιεύεται (⁸)· τὸ δ' εἴσω παρελθὸν, φῶς μέν ἐστιν ἐν ἡμέρᾳ, νύκτωρ δὲ ὄναρ γίνεται (⁹).

νγ'. ΓΥΝΑΙΚΙ.

Τὰ μὲν σὰ ὄμματα φιλῶ, τὰ δὲ ἐμαυτοῦ οὐ φιλῶ (¹)· τοῖς μὲν γὰρ σύνεσιν πολλὴν συνέγνωκα (²), τοῖς δὲ δεινὴν περιεργίαν· ἀναίσχυντά ἐστιν, ἀλλὰ καὶ κρύπτειν οὐδὲν δυνάμενα ὧν ἑώρακεν ἅπαξ. Οὐκ ἀφέστηκε γοῦν μου τῇ ψυχῇ λέγοντα (³)· „οὐκ εἶδες τὴν εὔκομον, τὴν εὐπρόσωπον; ἧκε, ἀνάβηθι, ἀλλὰ καὶ κλαῦσον, καὶ γράψον, καὶ δεήθητι.“ Ἡ δὲ εὖ μάλα πείθεται, παρακούειν μὴ δυναμένη λίχνων δορυφόρων (⁴)· καὶ γὰρ μὴ βουλομένην σύρουσιν ἔξω, καὶ βιάζονται φρονεῖν (⁵) ὅσα αὐτοὶ προλαβόντες ἐπήνεσαν. Ἀμέλει πρὶν ἔρωτα εἰς γῆν καταπτῆναι, μόνον τὸν ἥλιον ἠπίστατο καλὸν ἡ ψυχὴ (⁶), καὶ τοῦτο αὐτῇ τὸ θέαμα καὶ θαῦμα ἦν· γευσαμένη δὲ ὥρας ἀνθρωπίνης, ἔκαμε καὶ τῆς σπουδῆς ἐκείνης κατέπεσεν (⁷), εἰς δὲ θητείαν ὑπήχθη πικρὰν, ἧς ἔργα θυραυλίαι (⁸) καὶ χαμαικοιτίαι, καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις, καὶ, „ἤ μ' ἀνάειρ' ἢ ἐγώ σε (⁹)“, πρὸς τὸν ἀντεραστὴν μάχη. Τούτων δὲ εἶ πάντων σὺ τὸ φάρμακον, ἔργου ἐφημέρου ποιήματα ἀθάνατα, καὶ βραχείας σώματος ἡδονῆς μνήμην

ἀντιλαβοῦσα ἀγήρω (10)· ἃ μὲν γὰρ δώσεις, κοινὰ καὶ ῥᾴδια τοῦ θήλεος παντός· ἃ δὲ κτήσῃ ἀντὶ τούτων, οὔτ' ἂν εἴποιμι ὅσα, εὔνοια, καὶ μνήμη, καὶ νὺξ, ἀφ' ὧν καὶ μήτηρ καὶ πατὴρ γίνεται (11).

νδ'. ΜΕΙΡΑΚΙΩι (1).

Ὁ Ἀγαμέμνων, ὅτε μὲν ὀργῆς ἐκράτει, καλὸς ἦν, καὶ οὐχ ἑνὶ θεῷ, ἀλλὰ πολλοῖς ὅμοιος,

„Ὄμματα (2) καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,
„Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι·"

ὅτε δὲ ἐνησχημόνει τῇ γλυκύτητι τοῦ θυμοῦ καὶ πρὸς τοὺς ἑταίρους ἠγρίωτο, ἔλαφος καὶ κύων ἐνομίζετο (3), καὶ τὰ τοῦ Διὸς ὄμματα οὐδαμοῦ. Σῦς μὲν γὰρ ὀργίζονται (4) καὶ κύνες, καὶ ὄφεις καὶ λύκοι, καὶ ὅσα ἄλλα οὐ χρῆται λογισμῷ θηρία· καλὸς δὲ ἄνθρωπος, καὶ μὴ γελάσας μόνον, λυπεῖ, μήτοι γε καὶ σκυθρωπότερος ἑαυτοῦ (5) γενόμενος. Οὐ πρέπει δὲ οὐδὲ ἡλίῳ τοῦ προσώπου νεφέλην προβάλλεσθαι. Τίς ἡ κατήφεια αὕτη, τίς ἡ νύξ; τί τὸ στυγνὸν σκότος τοῦτο (6); Μειδίασον, κατάστηθι, ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

νε'. ΓΥΝΑΙΚΙ ΘΥΜΟΥΜΕΝΗι (1).

Ἐχθές σε ὀργιζομένην (2) κατέλαβον, καὶ ἔδοξα ἄλλην βλέπειν. Τούτου δὲ αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σου συγχέασα τὴν τοῦ προσώπου χάριν. Μὴ δὴ μεταποίει τὴν γνώμην, μὴ δὲ ἄγριον βλέπε (3). Οὐ γὰρ τὴν σελήνην ἔτι

Digitized by Google

λαμπρὰν δοκοῦμεν ὅταν ᾖ συννεφὴς (4), οὐδὲ τὴν Ἀφροδίτην καλὴν ὅταν ὀργίζηται ἢ δακρύῃ, οὐδὲ τὴν Ἥραν βοῶπιν ὅταν χαλεπαίνῃ (5) τῷ Διΐ, οὐδὲ τὴν θάλατταν ἡδεῖαν ὅταν ταράττηται (6). Ἡ δὲ Ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔῤῥιψεν, ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας (7). Ἤδη καὶ τὰς Ἐριννῦς Εὐμενίδας καλοῦμεν, ὡς τὸ σκυθρωπὸν ἀρνουμένας· καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν, ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος (8) γελῶσιν ἐν τοῖς ῥόδοις. Ἄνθος δέ ἐστι καὶ γυναικὶ ἡ τοῦ προσώπου γαλήνη (9). Μὴ τραχεῖα γίνου, μηδὲ φοβερά· μὴ ἀποστεφάνου τὸ κάλλος· μὴ ἀφαιροῦ ῥόδων σεαυτὴν (10), ἃ ταῖς καλαῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. Εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα, ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον. Εὖγε ὅτι ἀπεστράφης (11)· ἢ γὰρ ἐμίσησας, ἢ ἐφοβήθης, ἢ οὐκ ἐγνώρισας, ἢ μετενόησας.

νϛ'. ΜΕΙΡΑΚΙῼ (1).

Πέπεισαι μὲν, ὡς εἰκάζω, τοῦ δὲ ἔργου (2) τὴν αἰσχύνην ὀκνεῖς· εἰς ἃ πράγματα ἀποδιδράσκεις, ἀφ' οὗ τις φίλος γίνεται (3)· Οὐκ ἐντεῦθεν ἐπληρώθη καλῶν τὰ Ὁμήρου ἔπη, τὸν Νιρέα, τὸν Ἀχιλλέα εἰς Τροίαν ἄγοντος (4); οὐκ ἐντεῦθεν Ἁρμοδίου καὶ Ἀριστογείτονος ὅσοι φίλοι καὶ μέχρι τῶν ξιφῶν (5); ὁ δὲ Ἀπόλλων οὐκ Ἀδμήτῳ καὶ Βράγχῳ (6) ἐθήτευσεν; ὁ δὲ Ζεὺς

οὐ τὸν Γανυμήδην ἥρπασεν, ᾧ χαίρει καὶ πρὸ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. Μὴ φθονήσῃς ἐραστοῦ σεαυτῷ (7), δοῦναι μὲν ἀθανασίαν οὐκ ἔχοντος, τὴν δὲ αὐτοῦ ψυχὴν ἔχοντος (8). Εἰ δὲ ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, ἂν ἐπιτάττῃς τοῦτο νυνί. Εἰ δὲ πλέκω τὸν βρόχον, ἀπάνθρωπε, οὐ καθαιρήσεις (9);

νζ'. ΓΥΝΑΙΚΙ (1).

Κελεύεις μοι μὴ βλέπειν, κἀγὼ σοὶ μὴ βλέπεσθαι (2). Τίς τοῦτο κελεύει νομοθέτης; τίς δὲ καὶ ἐκεῖνο; Εἰ δὲ μηδέτερον κεκώλυται, μήτε ἑαυτὴν ἀφαιροῦ τῆς εἰς ἐπίδειξιν εὐδοκιμήσεως (3), μήτε ἐμὲ τῆς εἰς τέρψιν ἐξουσίας. Οὐδὲ πηγὴ λέγει, „μὴ πίῃς," οὐδὲ ὀπώρα, „μὴ λάβῃς," οὐδὲ λειμὼν, „μὴ προσέλθῃς" (4). Ἕπου, γύναι, καὶ σὺ τοῖς νόμοις (5), καὶ διψῶντα παῦσον ὁδοιπόρον (6), ὃν τὸ σὸν ἄστρον ἀπώλεσεν.

νη'. ΓΥΝΑΙΚΙ ὙΠΑΝΔΡΩι (1).

Τὸ μὲν ἔργον ἕν, ἄν τε ἐπὶ ἀνδρὸς, ἄν τε ἐπὶ (2) μοιχοῦ γένηται· τὸ δὲ κινδύνῳ σφαλερώτερον, τῇ χάριτι μεῖζον. Οὐχ οὕτω γὰρ εὐφραίνει τὸ φανερὸν τῆς ἐξουσίας ὡς τὸ ἀπόῤῥητον τῆς ἡδονῆς, πᾶν δὲ τερπνότερον τὸ κεκλεμμένον (3). Οὕτω καὶ Ποσειδῶν ὑπῆλθε πορφυρῷ κύματι (4), καὶ Ζεὺς χρυσῷ, ὕδατι, καὶ βοῒ καὶ δράκοντι (5), καὶ ἄλλοις προκαλύμμασιν, ἀφ᾽ ὧν

Διόνυσος καὶ Ἀπόλλων καὶ Ἡρακλῆς, οἱ ἐκ μοιχείας θεοί (6). Λέγει δὲ Ὅμηρος καὶ τὴν Ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῇ συνήει λάθρα (7)· τὴν γὰρ ἀνδρὸς ἐξουσίαν μετέθηκεν εἰς κλοπὴν μοιχείας.

νθ'. ΜΕΙΡΑΚΙΩι (1).

Ὁ καλὸς, ἂν μὲν ᾖ θηριώδης, πῦρ ἐστιν· ἂν δὲ ἥμερος, φῶς (2). Μὴ κάε οὖν, ἀλλὰ σῶζε, καὶ τὸν ἐλέου βωμὸν (3) ἐν τῇ ψυχῇ ἔχε, ἀντιλαβὼν βέβαιον φίλον ὠκυμόρου δωρεᾶς (4), καὶ φθάσας τὸν χρόνον, ὃς μόνος καταλύει τοὺς καλοὺς, ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράννους (5). Ὡς δέδοικά γε (ὃ φρονῶ γὰρ εἰρήσεται) μὴ μέλλοντός σου καὶ βραδύνοντος, τὰ γένεια ἐπέλθῃ, καὶ τὴν τοῦ προσώπου συσκιάσῃ χάριν (6), ὥσπερ εἴωθε τὸν ἥλιον κρύπτειν ἡ νεφῶν συνδρομή (7). Τί δέδοικα ἅπερ ἔστιν ἤδη βλέπειν; ἕρπει μὲν ὁ ἴουλος (8)· αἱ δὲ παρειαὶ χνοάζουσι (9), τὸ δὲ πρόσωπον ὅλον ἀνθεῖ. Φεῦ! μέλλοντες ἐγηράσαμεν, σὺ μὲν θᾶττον εἰκάσαι (10) μὴ θελήσας, ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. Πρὶν οὖν σου τὸ ἔαρ ἀπελθεῖν ὅλον καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτὸ (11), πρὸς τοῦ Ἔρωτος, πρὸς τούτων τῶν γενείων, ἃ δεῖ με αὔριον ὀμνύναι (12).

ξ'. ΓΥΝΑΙΚΙ (1).

Ὁ μοιχὸς καὶ πείσας σφαλερώτατον (2) ἀνάλωμα, καὶ ὀδυνηρὸν μὴ τυγχάνων· τῆς μὲν γὰρ

εὐπραγίας κίνδυνος ὁ νόμος, τῆς δὲ λύπης μισθὸς ὁ ἔρως (³). Φοβεῖσθαι δὲ ἄμεινον τυχόντα ὧν βούλεταί τις, ἢ ἀνιᾶσθαι ἀμελούμενον.

ξα΄. ΜΕΙΡΑΚΙΩι (¹).

Ἐπαινῶ σε ἀντισοφιζόμενον τῷ χρόνῳ, καὶ περικόπτοντα τὰ γένεια. ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μένει τέχνῃ (²)· ἡδίστη δὲ ἡ τῶν ἀπολλυμένων ἀνάκτησις. Ὥστ', εἰ ἐμοὶ συμβουλεύοντι πείθοιο (³), τῇ μὲν κεφαλῇ κόμα, καὶ μελέτω σοι τῶν βοστρύχων, ὡς τοὺς μὲν ταῖς παρειαῖς συγκαταβαίνειν ἠρέμα (καὶ ταῦτά (⁴) σου τὰ γένειά τις ἀφαιρήσεται ῥᾳδίως ὅτε βούλεται), τοὺς δὲ τοῖς ὤμοις ἐπικαθῆσθαι, καθάπερ φησὶν Ὅμηρος (⁵) τοὺς Εὐβοεῖς ὄπισθεν κομᾷν· κεφαλὴ γὰρ ἀνθοῦσα ἡδίων πολὺ (⁶) τοῦ τῆς Ἀθηνᾶς φυτοῦ, εἴπερ γε δεῖ καὶ ταύτην τὴν ἀκρόπολιν (⁷) μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον· τὰ δὲ γένειά σοι ψιλὰ ἔστω, καὶ μηδὲν ἐνοχλείτω τῷ φωτὶ τούτῳ, μήτε νεφέλη μήτε ἀχλύς. Ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκλεισμένα ὄμματα, οὕτως οὐδὲ γένεια καλοῦ κομῶντα. Εἴτε οὖν φαρμάκοις, εἴτε μαχαίραις λεπταῖς, εἴτε ἄκροις δακτύλοις, εἴτε ῥύμμασι καὶ πόαις, εἴτε ἄλλῃ τινὶ μηχανῇ, πράττε σεαυτῷ τὸ κάλλος μακρότερον· οὕτω γὰρ ἔσῃ μιμούμενος τοὺς ἀγήρως θεούς (⁸).

ξβ΄. ΓΥΝΑΙΚΙ.

Ἐχθὲς συγκλείσας τὰ βλέφαρα (¹) ὅσον ἡσυχῇ σκαρδαμύξαι, πολὺν ἡγούμην τὸν χρόνον. Ἀμέ-

λει τοῖς ὀφθαλμοῖς ὡς ἀνεράστοις ἐνεκάλουν· „τί δὴ αὐτῆς ἐπελάθεσθε; τί δὲ τὴν φρουρὰν ἐξελίπετε; ποῦ δέ ἐστι, καὶ τί γέγονε; κἂν (²) τοῦτο αὐτὸ μηνύσατε.“ Νομίσας δὲ ἀκούειν, ἀπῆλθον ἔνθα σε ὄψεσθαι ᾠόμην, καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἡρπαγμένην. Τί οὖν μέλλω ποιεῖν, ἐὰν ἐξελάσῃς εἰς ἀγρὸν ὡς πέρυσι, καὶ πολλῶν ἡμερῶν τὰς ἐν ἄστει διατριβὰς καταλίπῃς; ἡγοῦμαι ἀναγκαῖον σαφῶς ἀπολωλέναι, μηδὲν ἔχοντα ἡδὺ μήτε ἀκούειν ἔτι μήτε ὁρᾷν. Ἐγὼ μὲν γὰρ ἕψεσθαί σοι νομίζω καὶ τὴν πόλιν ἐξιούσῃ καὶ αὐτοὺς τοὺς ἐν ἄστει θεοὺς (³) ἑλκομένους ὑπὸ τῆς θέας· τί γὰρ ἐνταῦθα μόνοι ποιοῦσιν; Εἰ δὲ κἀκεῖνοι κατὰ χώραν μενοῦσιν (⁴), ἀλλ' ἔγωγε οὐκ ἀπολειφθήσομαι, τοῦ ἔρωτος ἐφόλκιον (⁵). Εἰ δὲ καὶ σκάπτειν δέοι, λήψομαι τὴν δίκελλαν (⁶), εἴτε κλᾷν, θεραπεύσω τὰς ἀμπέλους (⁷), εἴτε ἐπάγειν λαχάνοις ὕδωρ, ὁδοποιήσω τὸν δρόμον (⁸). Τίς γὰρ οὕτω τυφλὸς ποταμὸς, ὡς σὴν γῆν μὴ γεωργεῖν; Ἓν ἐξόμνυμαι τῶν ἐν ἀγροῖς εἰθισμένων, ἀμέλγειν γάλα· μόνων ἡδέως τῶν σῶν μαστῶν ἅπτομαι.

ξγ'. ΜΕΙΡΑΚΙΩι (¹).

Τί μοι τὰ γένεια, ὦ παῖ (²), δεικνύεις; οὐ παύῃ κάλλους, ἀλλ' ἀρχῃ. Τὸ μὲν γὰρ ὀξὺ τῆς ὥρας παρελήλυθεν ὅσον τι πτηνὸν καὶ ἄπιστον, καὶ καθάπερ (³) πυρὸς ὁρμὴ σβέννυται· τὸ δὲ

ἑδραῖον καὶ βέβαιον μένει. Χρόνος δὲ οὐκ ἐλέγχει τοὺς ἀληθῶς καλοὺς, ἀλλὰ δεικνύει, καὶ μαρτυρεῖ μᾶλλον αὐτοῖς ἢ φθονεῖ. Τὸν δὲ ὑπηνήτην καὶ Ὅμηρος (4) λέγει χαριέστατον ὁ ποιητὴς, εἰδὼς καλῶς καὶ βλέπειν καὶ ποιεῖν (5). Οὐκ ἂν δέ ποτε τοῦτο ἀπεφαίνετο, εἰ μὴ πρῶτος αὐτὸς ἐρωμένου καὶ ἥψατο γενείων καὶ κατεφίλησε (6). Πρὶν μὲν γὰρ ἀνθεῖν, οὐδὲν ἀπεῖχον γυναικὸς αἱ σαὶ παρειαὶ, οὖσαι ἁπαλαί τε καὶ διαυγεῖς· ὅτε δὲ καὶ ἤδη χνοάζεις (7), ἀνδρικώτερος εἶ σεαυτοῦ (8) καὶ τελεώτερος. Ἀλλὰ τί; ἤθελες μηδὲν εὐνούχων (9) διαφέρειν, οἷς τὰ γένεια ἄκαρπα καὶ σκληρὰ, καὶ λιθίνοις ὅμοια; αἰσχύνονται γοῦν οἱ ἀλιτήριοι ταύτῃ τῇ τομῇ μᾶλλον ἢ ἐκείνῃ, τὴν μὲν ἀπόῤῥητον νομίζοντες, τὴν δὲ σαφέστατον (10) ἔλεγχον τῆς ὕψεως.

ξδ'. ΓΥΝΑΙΚΙ (1).

Τίς σε, ὦ καλὴ, περιέκειρεν (2); ὡς ἀνόητος καὶ βάρβαρος (3), ὁ μὴ φεισάμενος τῶν Ἀφροδίτης δώρων! οὐδὲ γὰρ γῆ κομῶσα ἡδὺ οὕτω θέαμα, ὡς γυνὴ κατάκομος (4). Φεῦ ἀναιδοῦς παλάμης! ὄντως πάντα τὰ ἐκ πολεμίων πέπονθας. Ἐγὼ δὲ οὐκ ἂν οὐδὲ αἰχμάλωτον περιέκειρα (5), τιμῶν τὸ κάλλος, ὡς οὐχ ἡδέως ἀμελούμενον (6). Ἀλλ' ἐπεὶ τετέλεσται τὰ δεινὰ, κἂν μήνυσον τὰς κόμας ποῦ κεῖνται (7), ποῦ τέτμηνται, ὅπως αὐτὰς ὑποσπόνδους λάβω,

ὅπως (8) φιλήσω χάμαι κειμένας. Ὦ πτερὰ Ἔρωτος! ὦ κεφαλῆς ἀκροθίνια! ὦ κάλλους λείψανα!

ξε'. ΤΗι ΑΥΤΗι (1).

Οὐκ οἶδα τί σου μᾶλλον ἐπαινέσω· τὴν κεφαλήν; ἀλλ' ὦ τῶν ὀμμάτων! τοὺς ὀφθαλμούς; ἀλλ' ὦ τῶν παρειῶν (2)! τὰς παρειάς; ἀλλὰ τὰ χείλη με ἐπάγεται καὶ δεινῶς κάεται (3), κεκλεισμένα μὲν δι' εὐκοσμίαν, ἀνοιχθέντα δὲ δι' εὐωδίαν (4). Εἰ δὲ καὶ ἀποδύσῃ, ἀστράπτειν τὰ ἔνδον οἶμαι. Φειδία καὶ Λύσιππε (5) καὶ Πολύκλειτε, ὡς ταχέως ἐπαύσασθε! οὐ γὰρ ἂν πρὸ τούτου τι ἄγαλμα ἄλλο ἐποιήσατε. Εὖ μὲν ἔχεις τῆς χειρὸς ἐξόχως, εὖ δὲ τῆς τῶν στέρνων εὐρύτητος, εὖ δὲ τοῦ περὶ τὴν γαστέρα ῥυθμοῦ (6)· τὰ δὲ ἄλλα οὐκ οἶδα πῶς εἴπω (7). Μάχεται τὸ κάλλος καὶ τοῦ Πριαμίδου δικαστοῦ (8). Φεῦ! γένωμαι τίς; ταῦτ' ἐπαινέσω (9); καὶ μὴν ἐκεῖνα ἀμείνονα· ἐκείνοις δῶ τὴν κρίσιν; καὶ μὴν ἀνθέλκει με ταῦτα (10). Ἐπίτρεψον ἅψασθαι, καὶ ἀποφαίνομαι.

ξϛ'. ΤΗι ΑΥΤΗι.

Ὅτε δὴ ἔκρινε τὰς θεὰς ὁ Ἀλέξανδρος, οὔπω παρῆν ἡ ἐκ Λακεδαίμονος· εἰ δ' οὖν, μόνην ἂν καλὴν ἀπεφήνατο, ἣν αὐτὸς ἐβούλετο (1). Ὅπερ οὖν ἐκείνῳ τότε πρὸς τὴν κρίσιν ἄλλῃ πως (2) ἔσχεν, ἐμοὶ νῦν ἐπανορθωθήσεται. Μὴ κάμνετε, ὦ θεαὶ, μὴ δὲ ἐρίζετε· ἔχω γὰρ, ἰδοὺ, τὸ μῆ-

λον. Λάβε, ὦ καλὴ, καὶ νικᾷς (3) τὰς θεὰς, καὶ ἀνάγνωθι τὰ γράμματα (4). Τά τε ἄλλα, καὶ ἐπιστολῇ τῷ μήλῳ κέχρημαι (5). Ἐκεῖνο Ἔριδος, τοῦτο Ἔρωτος· ἐκεῖνο ἐσιώπα, τοῦτο φθέγγεται (6). Μὴ ῥίψῃς, μὴ φάγῃς· οὐδὲ ἐν πολέμῳ πρεσβευτὴς παρανομεῖται (7). Τί οὖν ἐπέσταλκα; αὐτὸ ἐρεῖ (8)· Εὐίππη, φιλῶ σε. Ὑπόγραψον ἀναγνοῦσα καὶ * ὡς δέχεται τὸ μῆλον καὶ ταῦτα τὰ γράμματα.

ξζ΄. ΤΗι ΑΥΤΗι (1).

Μὴ ὑποδήσῃ ποτὲ, μὴ δὲ κρύψῃς (2) τὰ σφυρὰ ἐψευσμένοις καὶ δολεροῖς δέρμασιν, ὧν ἀπατηλὸν τὸ κάλλος ἐν τῇ βαφῇ. Εἰ μέν γε λευκὰ φοροίης (3), συγχεῖς τὴν τῶν ποδῶν λευκότητα· τὸ γὰρ ὅμοιον ἐν τῷ ὁμοίῳ μαραίνεται (4)· εἰ δὲ ὑάκινθον, τῷ μέλανι λυπεῖς (5)· εἰ δὲ φοινικοβαφῆ, φόβος (6), ὡς ῥέοντος ἐκεῖθέν ποθεν αἵματος. Εἰ δέ σου καὶ τὰ ἄλλα πάντα ἐφαίνετο, καὶ πολὺ κρείττων ἂν ἦς (7) ἐμπίπτουσα ὅλη (8) ταῖς τῶν ὁρώντων θήραις (9). Ἀλλὰ τῶν μὲν ἄλλων μερῶν ποιοῦ τινα, εἰ θέλεις, φειδὼ, καὶ μήτε σκέπης αὐτοῖς φθονήσῃς, μήτε προβλημάτων τῶν ἀναγκαίων· τοὺς δὲ πόδας κατάλιπε (10) γυμνοὺς, ὡς δειρὴν, ὡς παρειὰς, ὡς κόμας, ὡς ἐῤῥιμμένα ὄμματα (11). Ὅπου μὲν γάρ τι ἡμαρτήθη τῇ φύσει, σοφισμάτων δεῖ πρὸς τὴν βλάβην, ἵνα κρύψῃ τὸ ἐλλιπὲς ἡ τέχνη (12)·

ὅπου δὲ ἀρκεῖ τὸ κάλλος ἐπιδείξει οἰκείᾳ ([13]), περιττὰ τὰ φάρμακα. Θάρσησον σεαυτῇ ([14]) καὶ πίστευσον τοῖς ποσί. Τούτων φείσεται καὶ πῦρ, τούτων καὶ θάλασσα· κἂν ποταμὸν θελήσῃς περᾶσαι, στήσεται· κἂν κρημνοὺς ὑπερβῆναι, λειμῶνας ([15]) δόξεις πατεῖν. Οὕτω καὶ τὴν Θέτιν ἀργυρόπεζαν ([16]) εἶπεν ὁ πάσας ἀκριβῶς εἰδὼς τὰς τοῦ κάλλους ὑπεροχάς ([17])· οὕτω καὶ τὴν Ἀφροδίτην γράφουσιν οἱ ζωγράφοι, τὴν ἀνασχοῦσαν ἐκ τῆς θαλάττης· οὕτω καὶ τὰς Λευκιππίδας ([18]). Ἑτοίμους ἔχε τοὺς πόδας τοῖς βουλομένοις φιλεῖν, καὶ μηδὲ χρυσοῦ δέου. Μισῶ τὰς πέδας ([19]), ὧν ἡ πολυτέλεια τιμωρία. Διαφέρει δὲ ἢ χρυσῷ τινα ἢ σιδήρῳ δεδέσθαι; πλὴν εἰ μὴ τούτου ἐκεῖνο καὶ κάλλιον, ὅτι μετ' εὐφροσύνης ἀνιᾷ. Μὴ βασάνιζε, ὦ καλή, τὼ πόδε, μηδὲ κρύπτε, οὐδὲν ἔχοντας τοῦ λαθεῖν ἄξιον· ἀλλὰ βάδιζε μαλακῶς, καὶ κατάλειπε σεαυτῆς ἴχνος, ὡς μέλλουσά τι χαρίζεσθαι καὶ τῇ γῇ ([20]).

ξη'. ΓΥΝΑΙΚΙ ΠΟΡΝΗι ([1]).

Ὃ τοῖς ἄλλοις ἐπίῤῥητον δοκεῖ ([2]) καὶ μέμψεως ἄξιον, ὅτι ἀναίσχυντος εἶ καὶ θρασεῖα καὶ εὔκολος, τοῦτο μάλιστα ἐγώ σου φιλῶ. Καὶ γὰρ τῶν ἵππων θαυμάζομεν τοὺς αὐτῶν συνιέντας, καὶ λεόντων τοὺς φρονήματι χρωμένους, καὶ ὀρνίθων ([3]) τοὺς μὴ νεύοντας κάτω. Οὐδὲν οὖν οὐδὲ σὺ καινὸν ποιεῖς ([4]), εἰ, γυνὴ οὖσα

πολλῶν ὥρᾳ κρατοῦσα (5), ὑψηλόν τε ὁρᾷς καὶ μετέωρος βαδίζεις (6)· εἴπερ τίς ἐστι καὶ κάλλους ἀκρόπολις πολὺ κρείττων τῶν βασιλείων (7), εἴ γε ὑμᾶς μὲν φιλοῦμεν, ἐκείνους δὲ φοβούμεθα. Μισθώματα λαμβάνεις (8)· καὶ γὰρ ἡ Δανάη χρυσόν· καὶ στεφάνους δέχῃ· τοῦτο μὲν καὶ ἡ Ἄρτεμις ἡ παρθένος (9)· καὶ γεωργοῖς παρέχεις ἑαυτήν (10)· ἡ δὲ Ἑλένη καὶ ποιμέσι. Καὶ κιθαρῳδοῖς χαρίζεσθαι οὐ μέλλεις, πρὸς τὸν Ἀπόλλω βλέπουσα. Σὺ δὲ μηδ' αὐλητῶν ἀπόσχου· καὶ γὰρ Μουσῶν ἡ τέχνη· μηδὲ δούλων καταφρονήσῃς, ἵνα κἂν διὰ σὲ δοκῶσιν ἐλεύθεροι (11)· μηδὲ τῶν ἀμφὶ κυνηγεσίαν καὶ θήρας ἐχόντων, αἰσχύνεσθαι τὴν Ἀφροδίτην (12), ὦ καλή· ἀλλὰ μηδὲ ναυτῶν (13)· ταχέως μὲν ἀπιᾶσιν· ὁ δὲ Ἰάσων οὐκ ἄτιμος, ὁ πρῶτος κατατολμήσας θαλάττης (14)· ἀλλὰ μηδὲ (15) τῶν μισθοῦ στρατευομένων· ἀπόδυε καὶ (16) τούτους τοὺς ὑπερηφάνους. Πένησι μὲν γὰρ μηδὲ ἀντείπῃς ποτέ· ἀκούουσιν αὐτῶν οἱ θεοί (17). Τὸν μὲν γέροντα τίμησον διὰ τὴν σεμνότητα· τὸν δὲ νέον δίδαξον, ὡς ἄρτι ἀρχόμενον (18)· τὸν ξένον, ἂν σπεύδῃ, κάτασχε. Ταῦτα καὶ Τιμαγόρα, καὶ Λαΐς, καὶ Ἀρισταγόρα (19), καὶ τὸ Μενάνδρου Γλυκέριον (20), ὧν κατ' ἴχνη καὶ σὺ βαίνεις· εἰδυῖα χρῆσθαι παρεῖχες (21), καὶ τὴν σὴν σοφίαν ἐπὶ καιροῦ τῶν ἔργων ἔχουσα· οὔτε γὰρ πῦρ θερμὸν οὕτως ὡς σου τὸ ἆσθμα (22),

οὔτε αὐλὸς ἡδὺ ἄκουσμα οὕτως ὡς τὰ σὰ ῥήματα (23).

ξθ'. ΜΕΙΡΑΚΙΩι ΠΟΡΝΩι (1).

Πωλεῖς σεαυτὸν (2)· καὶ γὰρ οἱ μισθοφόροι· καὶ παντὸς εἶ τοῦ διδόντος· καὶ γὰρ οἱ κυβερνῆται. Οὕτω σου πίνομεν ὡς τῶν ποταμῶν, οὕτως ἁπτόμεθα ὡς τῶν ῥόδων. Ἐκείνοις (3) μὲν ἀρέσκεις ὅτι καὶ γυμνὸς ἕστηκας καὶ δίδως εἰς κρίσιν σαυτὸν, ὃ μόνον κάλλους ἴδιόν ἐστιν παῤῥησίαν εὐτυχοῦντος. Μὴ δὴ αἰδοῦ τῷ εὐκόλῳ, ἀλλὰ σεμνύνου τῷ ἑτοίμῳ (4). Καὶ γὰρ ὕδωρ πᾶσι πρόκειται, καὶ πῦρ οὐχ ἑνὸς, καὶ ἄστρα πάντων (5), καὶ ὁ ἥλιος δημόσιος θεός (6). Τὸ μὲν οἴκημά σου κάλλους ἀκρόπολις, οἱ δὲ εἰσιόντες ἱερεῖς, οἱ δὲ στεφανούμενοι θεοὶ (7), τὸ ἀργύριον φόροι τῶν ὑπακουόντων. Ἡδέως βασίλευε, καὶ λάμβανε (8), καὶ ἔτι προσκυνοῦ.

ο'. ΓΥΝΑΙΚΙ (1).

Μηδὲ γράφειν φυγάδα ἀνέξῃ; ἀλλ' ἐπίνευε φιλοῦσιν· οὐκοῦν οὐδὲ ἀναπνεῖν (2), οὐδὲ κλάειν, οὐδὲ ἄλλα ὅσα ἡ φύσις. Μή με διώξῃς τῶν θυρῶν, ὡς τῆς πατρίδος ἡ τύχη· μηδὲ ὀνειδίσῃς πρᾶγμα αὐτόματον *****· λόγῳ τῆς δυνάμεως (3). Ἔφευγε καὶ Ἀριστείδης, ἀλλ' ἐπανήρχετο· καὶ Ξενοφῶν, ἀλλ' οὐ δικαίως. Ἔφευγε καὶ Θεμιστοκλῆς (4), ἀλλ' ἐτιμᾶτο καὶ παρὰ βαρβάροις· καὶ Ἀλκιβιάδης, ἀλλὰ παρετείχιζε καὶ τὰς

Ἀθήνας (5)· καὶ Δημοσθένης, ἀλλ' ὁ φθόνος αἴτιος. Φεύγει καὶ θάλαττα, ὅταν ὑφ' ἡλίῳ ἐλαύνηται (6), καὶ ἥλιος, ὅταν νὺξ (7) καταλαμβάνῃ. Φεύγει καὶ μετόπωρον, χειμῶνος προσελθόντος· καὶ χειμὼν ἄπεισιν, ἔαρος διώκοντος· καὶ συνελόντα εἰπεῖν (8), αἱ τῶν ὑστέρων (9) καιρῶν ἐπιδημίαι τῶν προτέρων εἰσὶ καιρῶν φυγαί. Ἐδέξαντο καὶ Ἀθηναῖοι Δήμητραν φεύγουσαν (10), καὶ Διόνυσον μετοικοῦντα (11), καὶ τοὺς Ἡρακλέους παῖδας ἀλωμένους (12), ὅτε καὶ τὸν Ἐλέου ἐστήσαντο βωμὸν (13) ὡς τρισκαιδεκάτου θεοῦ (14), οὐκ οἴνου σπένδοντες αὐτῷ (15) καὶ γάλακτος· ἀλλὰ δακρύων καὶ τῆς πρὸς τοὺς ἱκετεύοντας αἰδοῦς. Ἀνάστησον καὶ σὺ τὸν βωμὸν, καὶ κακῶς πράττοντα ἐλέησον ἄνθρωπον, μὴ δὶς γένωμαι φυγὰς, καὶ τῆς πατρίδος στερηθεὶς καὶ τοῦ πρὸς σὲ ἔρωτος σφαλείς. Ἐὰν γὰρ ἐλεήσῃς (16), κατελήλυθα.

οα'. ΜΕΙΡΑΚΙΩι.

Τὴν σωφροσύνην, ἐφ' ᾗ μέγα δὴ (1) φρονεῖς, οὐκ οἶδά τι εἴπω, πότερον ἀγριότητα ἀντίπαλον τῶν φύσεως ἐπιταγμάτων ἢ φιλοσοφίαν ἀγροικίᾳ πεπυργωμένην (2), ἢ αὐθάδη πρὸς ἡδονὰς δειλίαν, ἢ σεμνὴν ὀλιγωρίαν τῶν τοῦ βίου τερπνῶν. Ὅ τι δ' ἂν ᾖ καὶ δοκῇ τοῖς σοφισταῖς, δόξῃ μέν ἐστι καλὸν, ἔργῳ δὲ ἀπανθρωπότερον. Τί γὰρ δὴ μέγα, πρὶν ἀπελθεῖν τοῦ βίου, νε-

κρὸν εἶναι σώφρονα; Στεφάνωσαι πρὶν ὅλως ἀπανθεῖν, καὶ χρῖσαι μύρῳ πρὶν σαπῆναι, καὶ κτῆσαι φίλους πρὶν ἔρημον γενέσθαι (3). Καλὸν νυκτὶ προλαβεῖν τὴν νύκτα ἐκείνην (4), πρὶν διψῆν πιεῖν, καὶ πρὶν πεινῆν φαγεῖν. Ποίαν δοκεῖς ἡμέραν σαυτοῦ; τὴν χθές; τέθνηκε· τὴν τήμερον; οὐκ ἔστι (5)· τὴν ἐπιοῦσαν· οὐκ οἶδα εἰ παρέσται σοι. Καὶ σὺ κἀκεῖνα, τῆς τύχης (6).

οβ΄. ΓΥΝΑΙΚΙ (1).

Τὴν νεφέλην τῶν ὀφρύων ἀφαιρεῖν ἄμεινον, ὡς μηδὲν κατηφὲς εἴη σοι (2) περὶ τὴν ὥραν. Αὐτῶν τε γὰρ τῶν ὡρῶν ἡδίους αἱ ἀνειμέναι καὶ γελῶσαι (3)· καὶ τὸ κάλλος ἡδονὴν ὥσπερ ἐκ κατόπτρου ἐμφαίνει, τὰ τῆς (4) περὶ τῷ προσώπῳ γαλήνης· ἥν, εἰ μὴ θολώσεις, ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ βλεπόμενον δόξεις. Εἰ δὲ ἐκ Πινδάρου ταῦτα (5), κἀκεῖνό που κατὰ Πίνδαρον, τὸ τὴν ἀκτῖνα τὴν ἀπὸ σοῦ πηδῶσαν εἶναι τῶν ἐμῶν ὀφθαλμῶν μητέρα (6).

ογ΄. ΓΥΝΑΙΚΙ.

Ἡ Σαπφὼ τοῦ ῥόδου ἐρᾷ (1), καὶ στεφανοῖ αὐτὸ ἀεί τινι ἐγκωμίῳ, τὰς καλὰς τῶν παρθένων ἐκείνῳ ὁμοιοῦσα. Ὁμοιοῖ δὲ αὐτὸ καὶ τοῖς τῶν χαρίτων πήχεσιν (2), ἐπειδὰν ἀποδύσῃ σφῶν τὰς ὠλένας (3). Ἐκεῖνο μὲν οὖν, εἰ κάλλιστον ἀνθέων, βραχὺ τὴν ὥραν (4)· παρέπεται γὰρ τοῖς ἀνθρώποις (5), ἐννεάσαν τῷ ἦρι· τὸ δὲ σὸν

εἶδος (6) ἀεὶ τέθηλεν, ὅθεν ὀφθαλμοῖς ἐμμειδιᾷ (7) καὶ παρειαῖς, οἷόν τι ἔαρ, τὸ μετόπωρον τοῦ κάλλους (8).

οδ' (1).

Οὐ τὸ ἐρᾷν νόσος, ἀλλὰ τὸ μὴ ἐρᾷν· εἰ γὰρ ἀπὸ τοῦ ὁρᾷν τὸ ἐρᾷν (2), τυφλοὶ οἱ μὴ ἐρῶντες.

ANNOTATIONES

IN

PHILOSTRATI EPISTOLAS.

Digitized by Google

Digitized by Google

Epistola 1.

1) Codex Parisinus 2551 = B praefert lemma, Φιλοστράτου λιμνίου, scilicet Λημνίου. Et Proclo infra apponendo n. 11. auctor hujus Epistolae Φιλόστρατος ὁ Λήμνιος dicitur; ipseque scriptor Ep. 16. se Lemnium esse declarat. Sed inde nihil lucramur, quum omnes Philostrati fuerint Lemno insula oriundi. Philostrato, Vitam Apollonii Tyanensis qui scripsit et Sophistarum Vitas et Heroica, tribuit Suidas ἐπιστολὰς ἐρωτικάς. Hincque standum. BO. „Ex quarum genere tamen haud est prima ex his Epistolis Aspasio inscripta. Quae alium etiam quam ceterae habet auctorem, tertium nempe Philostratum, ut ostensum in Praefat. ad has Epist. Unde est quod in membranis Vaticanis ceteris Philostrati Epistolis haec quidem minime juncta legatur. Praeterea etiam ἐρωτικαὶ non sunt IV, VII, VIII, IX, X, XI, XV, XVII, XIIX; quae proinde et ipsae fortassis alii sunt tribuendae auctori." OL.

2) „Male editi Ἀσπασίᾳ. Aspasium enim sophistam Ravennatem esse ad quem ista spectat Epistola diserte Philostratus tradit in lib. 11, [c. 33.] de Sophistarum Vitis, hujus ipsius Aspasii Vita; ubi etiam occasionem hujus Epistolae indicatam habes. Ceterum non scripta ad Aspasium ista Epistola eodem loco dicitur, sed τείνειν πρὸς Ἀσπάσιον, cujus χαρακτὴρ ἐπιστολικὸς ea perstringitur. Estque adeo haec inscriptio non ab auctore Epistolae, sed a librariis. Ceterum res ipsa loquitur non esse diversum ab hac Epistola fragmentum Philostrati de charactere epistolico cujus initium, τὸν ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου, quod in Bibliotheca Vindobonensi memorat Lambecius lib. V, p. 258." OL. Casanova inventum Ἀσπασίᾳ habuit pro dativo nominis Ἀσπασίας, et, quod non minime ridiculum est, ejus vultum sculpta

tabella lectoribus ostendit. Ceterum bene intellexit eundem esse Aspasio sophistae, de quo Philostratus V. S. I. I.: ἡ δὲ συγγεγραμμένη ἐπιστολὴ τῷ Φιλοστράτῳ περὶ τοῦ πῶς χρὴ ἐπιστέλλειν πρὸς τὸν Ἀσπάσιον τείνει. Quod et viderat Moneta in Menagianis t. I, p. 397, ubi et Meursii opportune allegavit Lectiones Att. 6, 9. Eodem loco Moneta, occasione usus primae Politiani epistolae quam gallice convertit et annotatione illustrat erudita, plurima habet quae Philostrateae explicandae conducant. Addi poterit et Kayserus ad V. S. locum. Putat Kayserus cum Oleario delendam esse inscriptionem, quum Aspasium ipsum a Philostrato compellari non sit credibile. Equidem etsi non sentiam aliter, repertum tamen lemma et in editis et in codice A loco suo non movi.

3) ἄριστά μοι δοκοῦσι διεσκέφθαι] Vulgo ἄρ. μ. διεσκ. δοκ. Sequor codices AB. Dixit εὖ διεσκέφθαι Philostratus Junior Imagg. Praef. Et Senior de Ulysse Her. p. 719.: κατηφῆ τε εἶναι καὶ οἷον ἐπεσκεμμένον, „quasi meditantem.“

4) „Apollonium intelligit, de cujus epistolarum charactere vide nobis observata ad ipsas epistolas.“ OL.

5) „Dionem philosophis accenseri vidimus a Philostrato in Vita ejus [V. S. I, 7.]. Prusaeensem enim intelligit.“ OL. Intelligi Prusaeensem non omnino certum est. Dionis cujusdam ipse Epistolas edidi ad Marinum p. 85, non Chrysostomi, ut videtur. Hujus Epistola quarta sic incipit: ἀνιαρὰ μὲν εἶναι τὰ συμβάντα δρακοντίων καὶ κακῶν ἔσχατα τίς οὐκ ἂν ὁμολογήσειε; Pro δρακοντίων est δράκοντα in Yriartae Catalogo p. 469; inveni δράκοντα in Mazarineo libro. Vera lectio est Δρακοντίῳ. Alia de illis Epistolis monenda alibi poterunt expromi.

6) „Simile de Bruti Epistolis judicium Marciani critici, de quo Phrynichus apud Photium cod. 158: Μαρκιανόν φησι τὸν κριτικὸν συγγραφέα ὑπερορᾶν μὲν Πλάτωνος καὶ Δημοσθένους, τὰς δὲ Βρούτου τοῦ Ἰταλοῦ ἐπιστολὰς προκρίνειν [καὶ κανόνα τῆς ἐν λόγῳ ἀρετῆς ἀποφαίνειν]. Taceo Mithridatae vel quicunque fuerit illarum Epistolarum editor de iis testimonium.“ OL. Non est cur taceatur, praesertim quum sit breve: τὰς Βρούτου (Cod. 1760, τ. τοῦ Βρ.) ἐθαύμασα πολλάκις ἐπιστολάς, οὐ μόνον δεινότητος καὶ

συντομίας χάριν, ἀλλὰ καὶ ὡς ἡγεμονικοῦ φρονήματος ἐχούσας χαρακτῆρα· ἐοίκασι γὰρ οὐδὲν νομίζειν καλὸν, εἰ καὶ μὴ μεγαλοψυχίας ἔχοιτο (Cod. id. ἔχοιντο). Ἐγὼ δὲ ἃ (Cod. ἃ μέν) περὶ τῶν τοιούτων φρονῶ λόγων, οὐδ' ἐν τῷδε ἀξιῶ διαμφισβητεῖν· ἀποφαίνοντος δέ σου δυσαποκρίτως αὐτὰς ἔχειν, ᾠήθην δεῖν πεῖραν ποιήσασθαι τῆς ἀντιγραφῆς.... Tzetzes Chil. 6, 327: Ἐῶ τὸν Βροῦτόν τε αὐτὸν καὶ τούτου γραμματέα. Quas Bruti Epistolas superstites adhuc mirum est non admovisse editores Plutarcheae Bruti vitae ad locos quos ex iis protulit auctor c. 2. Quod si fecissent, de verbis περὶ Παταρέων ἑτέραν rectius judicavissent. Ultima verba de Patarensibus Epistolae, quae fuit ad Lycios scripta, sic in Aldina leguntur: ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι. Et sic Genevensis. Est ἕλεσθε in Commeliniana. Quod ἕλεσθε recepit Voegelinus, sed dubitabundus; nam ipsi ἐξὸν sine infinitivo inde pendente valde suspectum est. Neque tamen alia fuerit participii positio, si cum Reiskio ἑλέσθαι praetulerit. Nam tunc erit ἑλέσθαι noto idiotismo infinitivi pro imperativo. At aptissime potest participium id genus absolutum sine infinitivo ac per incidentiam poni. Aristophanes Pl. 910: Πῶς οὖν ἂν εἴης χρηστὸς, ὦ τοιχωρύχε, Εἴ σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει; Sed quum in codice e Parisinis invenerim, ἐξὸν οὖν καὶ ὑμᾶς... ἑλέσθαι, sic puto scripsisse auctorem, geminato verbo: ἐξὸν οὖν καὶ ὑμᾶς ἢ τὴν Παταρέων κρίσιν ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι, ἕλεσθε.

7) Pro ἐχρῆτο, est ἐχρήσατο in AB. Philostratus V. S. 2, 10, 3: εὐμεταχειρίστῳ ἐχρῆτο. Ibi eandem reperit varietatem Kayserus.

8) „In litteris tamen βασιλείοις scribendis maxime eminuisse Antipatrum in Vita ejus § 1. narrat Philostratus [V. S. 1, 24]; ubi et genuinum talium epistolarum χαρακτῆρα delineat." OL. Antipater ille non fuit rex, sed sophista; nec laudat Philostratus scriptorem, qui nomine regum epistolas probabilius composuerit, sed regem, qui ipse scripserit melius. Quae sequuntur verba ἐν οἷς — γράμμασι omissa sunt in AB.

9) τῷ κεκριμένῳ τοῦ λόγου] „Seneca Ep. 100, ubi de Fabiano: *electa verba sunt, non captata.* Ipse M. Aure-

lins *τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν* sibi tribuit lib. I. *τῶν εἰς ἑαυτὸν* § 7, ubi a Rustico id se habere ait.“ OL. Ad Marci locum jam Philostrateis Senecae verba admoverat Gatakerus.

10) De verbo *ὑπεραττικίζειν* Ernestius Lex. Technol. Cf. Proclus in n. seq.

11) *δεῖ γ. φαίνεσθαι τὴν τῶν ἐπιστολῶν ἰδέαν ἀττικωτέραν … ἀττικίσεως*] Est *ἡ τῶν ἐπιστολῶν ἰδέα* character styli epistolicus, orationis conformatio epistolae propria. Epistola 13. *αἱ τῶν σοφιστῶν ἰδέαι* sunt orationis Sophistarum formae dicendi peculiares, stylus sophisticus. Apte scholiastes Luciani de Demosthenis Encomio t. 9, p. 132: *οὗτος ὁ λόγος ἐνδεῖ τῆς τοῦ Λουκιανοῦ ἰδέας καὶ ἀγχινοίας*: distat scilicet a consueta Luciani ratione scribendi, minime sapit Luciani stylum. De Philostrato Aegyptio Philostratus V. S. 1, 5: *λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο.* Ibi Kayser. Idem 2, 10, 1: *λόγου δὲ αὐτοῖς περὶ τῆς ἑκάστου τῶν σοφιστῶν ἰδέας προβαίνοντος, παρελθὼν ἐς μέσους ὁ Ἀδριανὸς, ἐγὼ, ἔφη, ὑπογράψω τοὺς χαρακτῆρας.* — Editi, *ἀττικεστέραν*. AB, *ἀττικωτέραν*, et sic codex Flor. ap. Kayserum ad V. S. p. 315, qui id vulgatae praefert. Id etiam praefert Osannus Auct. p. 35. Nec aliter legerat excerptor, cujus locum tractavi ad Aeneam Gaz. p. 186: *δεῖ τὴν ἐπιστολὴν μὴ κατεγλωττισμένην εἶναι μηδ' ὑπεραττικίζουσαν, ἀλλὰ τῆς μὲν συνηθείας ἀττικωτέραν, τῆς δ' ὑπὲρ τὸ μέτρον ἀτθίδος συνηθεστέραν.* Nec aliter etiam invenerat, qui Philostrati verba neque sine mutatione allegavit, Proclus de modo conscribendi epistolas; cujus locum, ni fallor, ineditum et inserendum Commelinianae p. 4, 4. describam e codice 1630: *αὗται μὲν οὖν αἱ πᾶσαι προσηγορίαι εἰς ἃς ἐπιστολὴ διαιρεῖται· δεῖ δὲ τὸν ἀκριβῶς ἐπιστέλλειν ἐθέλοντα μὴ μόνον τῇ τῆς ὑποθέσεως μεθόδῳ χρῆσθαι, ἀλλὰ καὶ φράσεως ἀρετῇ τὴν ἐπιστολὴν κατακοσμεῖν. Ἡ γὰρ ὑπὲρ τὸ δέον ὑψηγορία καὶ τὸ τῆς φράσεως ὑπέρογκον καὶ τὸ ὑπεραττικίζειν ἀλλότριον τοῦ τῶν ἐπιστολῶν χαρακτῆρος καθέστηκεν, ὡς πάντες οἱ παλαιοὶ μαρτυροῦσι. Φιλόστρατος ὁ Λήμνιος μάλιστα φησίν· δεῖ γὰρ τὴν τῆς ἐπιστολῆς φράσιν τῆς μὲν συνηθείας ἀττικωτέραν εἶναι, τοῦ δὲ ἀττικοῦ συνηθέστεραν, καὶ μήτε*

λίαν ὑψηλὴν μήτε ταπεινὴν ἄγαν, ἀλλὰ μέσην τινά. Κοσμεῖν δὲ δεῖ μάλιστα τὰς ἐπιστολὰς σαφηνείᾳ τε μάλιστα καὶ συντομίᾳ μεμετρημένῃ καὶ ἀρχαϊσμῷ λέξεων· σαφήνεια μὲν γὰρ ἀληθὴς ἀγαθὴ μὲν ἡγεμὼν παντὸς λόγου, μάλιστα δ' ἐπιστολῆς. Χρὴ μέντοι μήτε συντομίαν διὰ σαφήνειαν διαφθείρειν, μήτε σαφηνείας φροντίζοντα ληρεῖν ἀμέτρως, ἀλλὰ τοῦ συμμέτρου στοχάζεσθαι, τοὺς ἀκριβεῖς τοξότας μιμούμενοι. Ὥσπερ γὰρ οὔτε πολὺν (l. πολύ) τὸν προκείμενον τοῖς τοξόταις σκοπὸν παρενέγεσθαι (an παρενεγκέσθαι?), οὔτε τὸν (l. τό) ἀνέντα τοῦ σκοποῦ τοξεύειν καὶ πολὺ τοῦ προσήκοντος ἀποδεῖν, ἀνδρός ἐστιν εὐφυοῦς τε καὶ στοχαστικοῦ, ἀλλὰ μόνον τοῦ συμμέτρως τοῦ σκοποῦ (sic) καὶ τοῦτον βάλλοντος, οὔτε τὸ πέρα τοῦ προσήκοντος ληρεῖν, οὔτε τὸ βραχύλογον ἀσπάζεσθαι δι' ἀπορίαν καὶ τὸ σαφὲς ἐπικρύπτειν τῶν ἐπιτάσεων, ἀνδρός ἐστι λογίου, ἀλλὰ μόνου (sic) τοῦ μετ' εὐφραδείας τῆς συμμετρίας στοχαζομένου καὶ τὸ λεγόμενον καλῶς σαφηνίζοντος. Τὸ οὖν μέγεθος τῆς ἐπιστολῆς πρὸς τὰ πράγματα, καὶ οὐ πάντως τὸ πλῆθος καθάπερ κακίαν ἀτιμάζειν καλόν· ἀλλὰ δεῖ καί τινας ἐπιστολὰς ἀπομηκύνειν ἐν καιρῷ πρὸς τὸ τὴν ἀπαιτοῦσαν χρείαν πληρῶσαί τε τῆς εἰς ἐπιστολὰς χάριν (sic) ἱστοριῶν τε καὶ μύθων μνήμῃ καὶ παλαιῶν συγγραμμάτων καὶ παροιμιῶν εὐστόχων καὶ φιλοσόφων δογμάτων χρήσεις· οὐ μέντοι γε αὐτὴν διαλεκτικῶς προσενεκτέον. Τοσαῦτα μὲν περὶ ἐπιστολιμαίου χαρακτῆρος εἰρηκὼς καὶ τοῖς λεχθεῖσιν ἀρκεῖσθαι κρίνας τοὺς συνετούς, καὶ τὰς ἐπιστολὰς αὐτὰς ἑκάστην οἰκείαν ἁρμόσας προσηγορίαν· προσήκει (sic) μέντοι τῷ γράφειν βουλομένῳ πρὸ τοῦ κατ' ἐπιστολὴν χαρακτῆρος, μὴ ληρεῖν, μήτε μὴν ἐπιθέτοις ὀνόμασι χρῆσθαι, ὡς ἂν μὴ κολακεία τις καὶ δυςπίνεια (f. δυσγένεια) προσῇ τῷ γράμματι, ἀλλ' οὕτως ἀπάρχεσθαι· Ὁ δεῖνα τῷ δεῖνι χαίρειν. Οὕτω γὰρ ἅπαντες οἱ ἐπὶ σοφίᾳ τε καὶ λόγοις διαπρέψαντες παλαιοὶ φαίνονται πεποιηκότες, καὶ δεῖ τὸν βουλόμενον ἐκείνων ζηλωτὴν γενέσθαι κατόπιν αὐτῶν βαίνειν. Καὶ παραινετικὴ μὲν οὖν ἐστι δι' ἧς..... — Addam in loco Philostrati pro ἀττικίσεως esse ἀττικήσεως in B, pariterque variari in codice apud Kayserum ad V. S. 2, 3. ubi de Aristocle: αὐτὴ ἡ ἀττίκισις... λεπτολογεῖσθαι δόξει.

Digitized by Google

12) Est ἀπᾴδειν in AB et Ald. Est ἀπάνδειν in Genevensi, unde ἀπαύδειν in Morelliana et Oleariana, quem barbarismum correxit et Iacobsius ad Imagg. p. 591.

13) A, ἐν τῷ μὴ ἰσχιματίσθαι. B, ἐν τῷ ἰσχιματίσθαι. Negatio non debet abesse. — „Quid sit σχηματίσαι λόγον vide ad Vitas Sophist. l. 1, in Scopeliano § 5, n. 17." OL. Est nunc σχηματίζειν λόγον orationem schematis et figuris ornare; „figurare varie", ut ait Plinius Sec.

14) φιλοτιμία.. μειρακιῶδες] A, μειρακιώδης. B, μειρακιῶδες, suprascripto ης. Praeferenda vulgata videbatur. Vide notul. ad Plutum 203, ad Basilium in Notit. mann. t. 11, 2, p. 89. — „Seneca Ep. 75: *Qualis sermo meus esset, si una sederemus aut ambularemus, illaboratus et facilis, tales epistolas meas esse volo, quae nihil habeant accersitum nec fictum.* Haec autem et sequentia Aspasium inprimis tangunt, qui, cum ab epistolis esset imperatori, ἀγωνιστικώτερον τοῦ δέοντος ἐπέστελλε, τὰς δὲ οὐ σαφῶς. Quod opponitur τῷ ἀφελεῖ. Vide Philostr. alterum in Vita ejus [V. S. 2, 33, 3.]" OL.

15) κύκλον ἀποτορνεύειν] „Orationis orbem Cicero quoque dicit in Oratore c. 71. et De oratore l. III., c. 51. Notumque quid sit rotunda oratio. *Κύκλους περιόδων* Demetrius Phalereus aliique veterum rhetores appellabant. Atque ille κύκλος est, quem ὁ ῥυθμὸς ἐλέγχει, ut loquitur Hermogenes libro IV. De inventione cap. 8. [p. 202]. Nam alias quidem κύκλος est periodus, eadem voce qua coepta est desinens. Vide ibid." OL. Adde de κύκλῳ rhetorico Ellendt. ad Cicer. Brut. § 33; Ernestium Lex. Techn., ubi et de verbo ἀποτορνεύειν, quod attigit etiam Creuzerus in G. Bekkeri Specimine p. 67. Vide Matthaei Prolusionem a. 1801. de Joanne Chrys. p. 5; et Iahnii Symbolas p. 46 ad similia Philostrati verba V. S. 1, 25, 7: ὅτε ἀποτορνεύοιτο περίοδον, ubi Kayserus etiam legendus; et etiam Ger. Horrei Animadv. p. 163. Metaphorae verbi τορνεύειν alius est usus in Theoph. Simocattae Epist. 15: ἡ δὲ ῥὶν λίαν σεμνῶς ἐτετόρνευτο. Codex 352. Supplem. et Palatinus Kayseri ἐτετόρευτο, male. Facilis est utriusque verbi confusio. Aeschylus Prom. 76: Ἐρρωμένως νῦν θεῖνε διατόρους πέ-

δας. Scholiastes A: διατόρους, τὰς διατετορνευμένας. „Sed recte Schneid. διατετορευμένας," vir d. ait, quocum quidem non facio. Sunt πέδαι διατετορνευμέναι, compedes seu annuli rotundati, quibus extremae partes Promethei crurum insererentur. Claudianus 19, 4: „Et solitos tardae passurus compedis orbes." Vel fuerint διάτοροι πέδαι, αἱ διαπείρουσαι, non trajicientes pedes, quod nonnulli interpretes opinantur, sed saxum terebrantes, scilicet appendiculis acuminatis quas summa vi malleator Vulcanus per rupem adigebat. Brachia Promethei fuerant sic annulis inclusa, non transfossae manus: ψάλια... ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει Ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.

16) A, ὡραΐζηται. B, ἵνα γοῦν ἢ βρ. ὡραΐζεται εἰς ἄλλην, et pro nomine ἠχὼ relictum est spatium vacuum. Quum oratio brevis sit omnino στενή, angusta, exilis ac copia carens, si in periodicum orbem tornata fuerit, alio eoque sonoro vocabulorum numero ornabitur. Nomen ἠχὼ iterum occurret Epist. 13. Vide Kayserum ad V. S. p. 353. Photius Epist. 156. de Petro apostolo: οὐ γὰρ ἠχώ τινα (cod. 2720, ἦχον τινὰ bene minus) καὶ τέχνην ῥημάτων οὐδὲ λεξιδίων ψόφον καὶ κτύπον ῥημάτων (cod. οὐ λέξ. κτύπον καὶ ψόφον ὀνομάτων, melius vitata repetitione vocabuli ῥημάτων), δι' ὧν τινες τὰ τῶν μειρακίων ὑπογαργαλίζουσιν ὦτα καὶ κρότον ἑαυτοῖς ἐγείρουσιν ἐκεῖθεν, ἀλλὰ ψυχῶν σωτηρίαν τοῖς ἀκροαταῖς ἐνθεῖναι φορτίδα ἐτίθετο (cod. ἀκροαταῖς φροντίδα ἐτ.). Quomodo potuit φορτίδα scribere qui alteram lectionem noverat Montacutius?

17) Vulgo, τῶν δὲ ἐς μῆκος προηγμένων ἐπιστολῶν ἐξαίρειν χρὴ κύκλους. AB, εἰς μ. παρηγμένων ... τοὺς κ. Sumsi παρηγμ... τούς. Et pro ἐξαίρειν scripsi ἐξαιρεῖν, Kayseri sequutus Notas Criticas p. 30. Saepius obtinet verbi utriusque permutatio. Vetus lectio in Convivio Platonis c. 4, Σωκράτη δ' ἐξαίρω λόγου, a criticis fuit nuperis correcta. Et in Aristidis Rhetorica t. 2, p. 757, nunc legitur bene: Ὅμηρον δὲ ποιητῶν ἐξαιρῶ λόγου. Philostratus Her. p. 691 = 94: Παλαμήδην τε τὸν θεῖον ἐξαίρων ἅπαντος λόγου· cum glossa ἐκβάλλων. Ibi scribendum ἐξαιρῶν. Nam legitur p. 694 = 102, quod dubitationem tollit: ἐξῃρήσθω δὲ καὶ ὁ ἀγών·

Digitized by Google

cum simili glossa, *ἐκβεβλήσθω*. Pariter p. 685 = 74 scribendum *ἐξαιρῶν*, quod et monui p. 660, pro *ἐξαίρων*, in hacce sententia: *τάς τε ἡδίους τῶν ἀμπέλων ἐξαίρων αὐτῷ.* Nam est ibi glossa, *ἐξαιρέτους ἀνατιθείς*, ac legitur p. 700 = 118: *Διομήδει μόνῳ ἐξῃρῆσθαι ταῦτα*, cum simili glossa: *ἐξαίρετον ἀναθεῖναι, ἐκλέξασθαι.*

18) B, *ἀγωνιστικώτερον γὰρ ἢ κατά* (et A, *κατὰ*, editi *κατ'*) *ἐπιστολὴν ἢ κατὰ ἐπεσταλμένα ἢ ξυγκεῖσθαι τὸ ἐπὶ πᾶσι·* sic mediis omissis. — „*Ἀγωνιστικώτερον·* quod vitium erat Aspasii, qui hic tangitur. Vide Vitam ejus § 3.“ OL. Vide n. 14. De vitandis periodis in epistola simile praeceptum est Demetrii Phal. § 238: *γελοῖον γὰρ τὸ περιοδεύειν, ὥσπερ οὐκ ἐπιστολήν, ἀλλὰ δίκην γράφοντα· καὶ οὐδὲ γελοῖον μόνον, ἀλλ' οὐδὲ φιλικόν.*

19) Vulgo, *πλὴν εἰ μή πω*. A, *πλ. εἰ μή που*. Hoc malui. Similis varietas et in V. S. 2, 2, ubi, pro verbis *οὐ τοῦτό πω λόγου ἄξιον* nunc editis idque recte, est *που* in nonnullis libris, etiam in cod. 1696. Grammatici severiores vituperant formulam *πλὴν εἰ μή*. Synesius Epist. 3, p. 159: *πλὴν εἰ μή τι λέγουσιν*. Codicem vidi in quo glossator ad vocabulum *πλὴν* adscripsit *περισσόν*. — A, *ἢ ξυμβαλεῖν δέοι τὰ ἐπεσταλμένα ἢ συγκλ.*

20) *σαφήνεια δὲ ἀγαθὴ ἡγεμών*] „Maxime in epistola principis nomine scribenda. Haec quoque tangunt Aspasium. Vide Vitam ejus § 3.“ OL.

21) AB, *συγχώρ*. AB sine *καὶ* ante *καθ.*, non male, modo absit *καὶ* ante *ξυγχώρ*. Editi, *ἐρωτῶντες*. A, *ἐρῶντες*. B, *ἐρωτῶντες*, deletis literis *τῶ*. Quae permutatio fuit a me alibi tractata. Stobaei Appendix p. 27: *ἐρωτῶντας καὶ περιέργους ὀφθαλμοὺς οὐκ ἐπέβαλλον ἀλλοτρίοις κάλλεσι, μέχρι καὶ ψιλῆς θέας τὸ φίλον τηρήσαντες.* Reponam fere *ἐρῶντας*. Cf. Epist. 5. — Ald. *ἢν σ. ἑρμηνεύσωμεν*. Gen. Mor. Ol., *ἢν σ. ἑρμηνεύσομεν*. Scripsi *εἰ σ. ἑρμηνεύσομεν* ex AB; quod malui propter repetitum statim futurum, *σαφῶς δὲ ἑρμηνεύσομεν:* quibus tribus vocibus carent AB, librarios fallente homoeoteleutia. — In fine editi, *κοινῶς φράζωμεν*. AB, qui desinunt in *κοινῶς*, exhibent *φράσωμεν* eadem, qua ego, sede.

Epistola 2.

1) „Codex Vatic. *b* habet *γυναικὶ ἑτέρᾳ*.“ OL. Est in C, *τῇ αὐτῇ*: praecesserat alia epistola, cujus numerum hodie non memini, inscripta *καπηλίδι*. F, *τῇ αὐτῇ*: praecessit epistola 67. inscripta *γυναικὶ ἑτέρᾳ*. Puto male scriptum esse *ἑτέρᾳ* pro *ἑταίρᾳ*, ut aliae sunt epistolae inscriptae *γυναικὶ πόρνῃ*, *γυναικὶ καπηλίδι*. Si aliam significare voluit feminam, *ἄλλῃ* potius oratio poscebat. Sic lemma quod infra memorandum erit *μειρακίῳ ἑτέρῳ* mutari velim in *μ. ἑταίρῳ*, non pro *μ. ἄλλῳ* capi. Ac notum est omnibus nomina *ἕτερος ἑταῖρος*, *ἑτέρα ἑταίρα*, passim esse permutata. Moschopulus *Π. σχ.* p. 121, de vocabulo *φίλος· διαφέρει δὲ τοῦ ἑτέρου ὅπερ ὁ ἔτης τοῦ γείτονος....* Codex 2599, *ἑταίρου*, quod contextus ipse invitis omnibus codicibus reponi jubet. Confusio vocalium *αι* et *ε* ubique obtinet, ut ii bene sciunt, qui criticam faciunt emendatricem. Exemplo uno et altero utar. Longus 1, 8: *ἐκπέμπουσιν αὐτοὺς ἅμα ταῖς ἀγέλαις, ἐκδιδάξαντες ἕκαστα, πῶς δεῖ νέμειν πρὸ μεσημβρίας, πῶς δεῖ νέμειν κοπάσαντος καύματος.* Quum esset in codice *πῶς ἐπιμένειν*, Courierius permutatis permutandis edidit *πῶς ποιμαίνειν*. Sed est et alia varietas, *πῶς ἐπινέμειν*. Inde facio, *πῶς ἔτι νέμειν*. Quod esse verum omnino videtur. Sunt duo pascendi tempora ante et post solis calores, *δεῖ νέμειν* et *ἔτι νέμειν*. Per se bona verbi *νέμειν* repetitio fit melior *ἔτι* addito. Et si saepe confunduntur *αι* et *ε*, saepe etiam *ἐπὶ* et *ἔτι*. In Oraculis Sibyllinis 2, 29, ubi *σύνεσις ἔσται* versum claudit, notavit pro sua diligentia editor doctiss. esse *σύναισις* in libro scripto, ac pro sua eruditione primam in *σύνεσις* produci, ut alibi in *συνεχέως*. Cujus observationis si meminisset, non quaesivisset correctionem initii *εἰς ἓν ἰθύνουσα*, 3, 47, quum vi liquidae possit *εἰς ἓν* esse spondaeus; nec alius initii *γαλουχοῦσιν*, 2, 192, quum et liquidae potestas syllabam *γαλ* producere valeat.

2) „*ὑπογράφουσα* habet id. cod.“ OL. Et codd. CF etiam. Retinui *γράφουσα*, ob lusum verborum in fine epistolae. Atque Epist. 13. sunt *γραφαὶ παρειῶν* et *ζωγραφίαι παρειῶν* permutatae.

3) Verbum *κατηγορεῖν* in sensu arguendi tractavi ad

Heroica p. 487, ad Aeschylum Ag. 264, ubi et Blomfieldius videatur, collato Iacobsio ad Icones p. 690. Heliodorus p. 2: σωμάτων ἔτι σπαιρόντων, ἄρτι πεπαῦσθαι τὸν πόλεμον κατηγορούντων. Aristaenetus 2, 22: συγχέουσα τὸ ἔρεισμα τοῦ δευτέρου σώματος, ὅτι κατηγόρει μηνύματα συζυγίας. Electum videtur verbum κατηγόρει de industria a Philostrato, quo extremae sententiae quasi praeluderet.

4) παρειὰ . . ἔξωρος quid sit explicatur in Stephani Thesauro ex hoc ipso loco.

5) ἴσχε δή] F, ἴσχε δέ. Himerius Or. 14, § 35: ἄγε δέ μοι πτεροῦσθε τὸ λοιπὸν, ὦ λόγοι. Wernsdorf. conjecit ἄγε δή μοι, quod in codice scriptum reperi.

6) μηδὲν ἐπιποίει τῷ κάλλει] Philostratus sic V. S. 2, 5, 3, de Alexandro: διαβολαὶ δὲ ἐπ' αὐτὸν ἐφοίτησαν, ὡς νεότητα ἐπιποιοῦντα τῷ εἴδει. Ibi Kayser., coll. Iacobsio Lectt. Stob. p. 1155 et Iahn. Symb. pp. 57, 92.

